2a. Xenoph. Mem. I 1, 11 οὐδὲ γὰρ περὶ τῆς τῶν πάντων φύσεως ᾗπερ τῶν ἄλλων οἱ πλεῖστοι διελέγετο [Sokrates] σκοπῶν, ὅπως ὁ καλούμενος ὑπὸ τῶν σοφιστῶν κόσμος ἔχει καὶ τίσιν ἀνάγκαις ἕκαστα γίγνεται τῶν οὐρανίων. 6, 13 καὶ τὴν σοφίαν ὡσαύτως τοὺς μὲν ἀργυρίου τῶι βουλομένωι πωλοῦντας σοφιστὰς ὥσπερ πόρνους ἀποκαλοῦσιν. Cyn. 13, 8 οἱ σοφισταὶ δ' ἐπὶ τῶι ἐξαπατᾶν λέγουσι, καὶ γράφουσιν ἐπὶ τῶι ἑαυτῶν κέρδει καὶ οὐδένα οὐδὲν ὠφελοῦσιν· οὐδὲ γὰρ σοφὸς αὐτῶν ἐγένετο οὐδεὶς οὐδ' ἔστιν, ἀλλὰ καὶ ἀρκεῖ ἑκάστωι σοφιστὴν κληθῆναι, ὅ ἐστιν ὄνειδος παρά γε εὖ φρονοῦσι. τὰ μὲν οὖν τῶν σοφιστῶν παραγγέλματα παραινῶ φυλάττεσθαι, τὰ δὲ τῶν φιλοσόφων ἐνθυμήματα μὴ ἀτιμάζειν.

3. Aristot. Soph. el. 1. 165a 21 ἔστι γὰρ ἡ σοφιστικὴ φαινομένη σοφία οὖσα δ' οὔ, καὶ ὁ σοφιστὴς χρηματιστὴς ἀπὸ φαινομένης σοφίας ἀλλ' οὐκ οὔσης.

---

# 80 [74]. PROTAGORAS

## A. LEBEN UND LEHRE

1. Diog. IX 50ff. Πρωταγόρας Ἀρτέμωνος ἤ, ὡς Ἀπολλόδωρος [FGrHist. 244 F 70 II 1040] καὶ Δίνων ἐν Περσικῶν ε̄ [fr. 6 FHG II 90; vgl. A 2], Μαιανδρίου Ἀβδηρίτης, καθά φησιν Ἡρακλείδης ὁ Ποντικὸς ἐν τοῖς Περὶ νόμων [fr. 21 Voss], ὃς καὶ Θουρίοις νόμους γράψαι φησὶν αὐτόν· ὡς δ' Εὔπολις ἐν Κόλαξιν [fr. 146 I 297 K.], Τήιος· φησὶ γάρ· 'ἔνδοθι μέν ἐστι Πρωταγόρας ὁ Τήιος'. οὗτος καὶ Πρόδικος ὁ Κεῖος λόγους ἀναγινώσκοντες ἠρανίζοντο· καὶ Πλάτων ἐν τῶι Πρωταγόραι [316 A] φησὶ βαρύφωνον εἶναι τὸν Πρόδικον. διήκουσε δ' ὁ Πρωταγόρας Δημοκρίτου. (ἐκαλεῖτό τε Σοφία, ὥς φησι Φαβωρῖνος ἐν Παντοδαπῆι ἱστορίαι [fr. 36 FHG III 583, näml. Demokrit, vgl. oben II 85, 1. 87, 26]). (51) καὶ πρῶτος ἔφη δύο λόγους εἶναι περὶ παντὸς πράγματος ἀντικειμένους ἀλλήλοις [B 6a]· οἷς καὶ συνηρώτα, πρῶτος τοῦτο πράξας. ἀλλὰ καὶ ἤρξατό που τοῦτον τὸν τρόπον· 'πάντων ... ἔστιν' [B 1]. ἔλεγέ τε μηδὲν εἶναι ψυχὴν παρὰ τὰς αἰσθήσεις, καθὰ καὶ Πλάτων φησὶν ἐν Θεαιτήτωι [p. 152ff.], καὶ πάντα εἶναι ἀληθῆ. καὶ ἀλλαχοῦ δὲ τοῦτον ἤρξατο τὸν τρόπον· 'περὶ μὲν θεῶν οὐκ ἔχω εἰδέναι οὔθ' ὡς εἰσὶν ... ἀνθρώπου' [B 4]. (52) διὰ ταύτην δὲ τὴν ἀρχὴν τοῦ συγγράμματος ἐξεβλήθη πρὸς Ἀθηναίων, καὶ τὰ βιβλία αὐτοῦ κατέκαυσαν ἐν τῆι ἀγορᾶι ὑπὸ κήρυκι ἀναλεξάμενοι παρ' ἑκάστου τῶν κεκτημένων.

---

1 ἧπερ Hss.: ἢ περὶ Euseb. P. E. I 8. XV 62  2 ὡς οἱ πλ. Eus. 3 ἔχει] ἔχοι A: ἔφυ FL[c].  5 [ὥσπερ πόρνους] Ruhnken  8 ⟨τοῖς⟩ εὖ Junt. 16 δίων BPF: verb. Menage  ἐν περσικῶ ἐν P[1] (ἐν tilgte P[2]): ἐν περσικοῖς ἐν (d. erste ἐν ausgewischt) B: ἐν περσικοῖς F: verb. Diels  Μαιανδρίου] Μαιανδρίδου ἢ καὶ Νεανδρίου Suid.: Μαίανδρος unten II 255, 20: Μένανδρος Epiphan. adv. haer. III 16 (Doxogr. 591, 1)  19 ἔνδοθι (ἔνδο, über ο: θ BF) Hss.: ἔνδον Cobet  25 οἷς] *vermittelst welcher*: οὓς Richards  συνηρώτα] vom syllogistischen Dialog  31 κήρυκι Φ: κήρυκα BPF  ἀναλ. ἑκάστους F

οὗτος πρῶτος μισθὸν εἰσεπράξατο μνᾶς ἑκατόν· καὶ πρῶτος μέρη χρόνου διώρισε καὶ καιροῦ δύναμιν ἐξέθετο καὶ λόγων ἀγῶνας ἐποιήσατο καὶ σοφίσματα τοῖς πραγματολογοῦσι προσήγαγε· καὶ τὴν διάνοιαν ἀφεὶς πρὸς τοὔνομα διελέχθη καὶ τὸ νῦν ἐπιπόλαιον γένος τῶν ἐριστικῶν ἐγέννησεν· ἵνα καὶ Τίμων φησὶ περὶ αὐτοῦ· 'Πρωταγόρης τ' ἐπίμεικτος ἐριζέμεναι εὖ εἰδώς' [fr. 47 D.]. (53) οὗτος καὶ τὸ Σωκρατικὸν εἶδος τῶν λόγων πρῶτος ἐκίνησε. καὶ τὸν 'Αντισθένους λόγον τὸν πειρώμενον ἀποδεικνύειν, ὡς οὐκ ἔστιν ἀντιλέγειν, οὗτος πρῶτος διείλεκται, καθά φησι Πλάτων ἐν Εὐθυδήμωι [286c]. καὶ πρῶτος κατέδειξε τὰς πρὸς τὰς θέσεις ἐπιχειρήσεις, ὥς φησιν 'Αρτεμίδωρος ὁ διαλεκτικὸς ἐν τῶι Πρὸς Χρύσιππον. καὶ πρῶτος τὴν καλουμένην τύλην, ἐφ' ἧς τὰ φορτία βαστάζουσιν, εὗρεν, ὥς φησιν 'Αριστοτέλης ἐν τῶι Περὶ παιδείας [fr. 63 R.]· φορμοφόρος γὰρ ἦν, ὥς καὶ 'Επίκουρός πού φησι [s. 68 A 9], καὶ τοῦτον τὸν τρόπον ἤρθη πρὸς Δημοκρίτου ξύλα δεδεκὼς ὀφθείς. διεῖλέ τε τὸν λόγον πρῶτος εἰς τέτταρα, εὐχωλήν, ἐρώτησιν, ἀπόκρισιν, ἐντολήν· (54) (οἱ δέ, εἰς ἑπτά, διήγησιν, ἐρώτησιν, ἀπόκρισιν, ἐντολήν, ἀπαγγελίαν, εὐχωλήν, κλῆσιν), οὓς καὶ πυθμένας εἶπε λόγων. 'Αλκιδάμας δὲ [fr. 8 O. A. II 155b 36] τέτταρας λόγους φησί, φάσιν, ἀπόφασιν, ἐρώτησιν, προσαγόρευσιν. πρῶτον δὲ τῶν λόγων ἑαυτοῦ ἀνέγνω τὸν Περὶ θεῶν, οὗ τὴν ἀρχὴν ἄνω [II 253, 28] παρεθέμεθα· ἀνέγνω δ' 'Αθήνησιν ἐν τῆι Εὐριπίδου οἰκίαι ἤ, ὥς τινες, ἐν τῆι Μεγακλείδου· ἄλλοι ἐν Λυκείωι, μαθητοῦ τὴν φωνὴν αὐτῶι χρήσαντος 'Αρχαγόρου τοῦ Θεοδότου. κατηγόρησε δ' αὐτοῦ Πυθόδωρος Πολυζήλου, εἷς τῶν τετρακοσίων· 'Αριστοτέλης δ' Εὔαθλόν φησιν [fr. 67; s. B 6]. (55) ἔστι δὲ τὰ σωιζόμενα αὐτοῦ βιβλία τάδε· * * * Τέχνη ἐριστικῶν,

---

1 μέρη χρόνου] will fassen als *series lectionum* (Stundenplan) statt als Tempora verbi Gunning *De sophistis Graeciae praeceptoribus* Diss. Amstelod. 1915; vgl. καιρός im folg. 2 ἐποιήσατο BP[1] Suid.: ἐθεάσατο FP[2] σόφισμα Hss.: verb. Aldobr. 4 ἐπιπολάζον Lobeck ἵνα] *zu diesem Punkte* 8 κατέληξεν (ν ausr.) B 9 θέσεις] *gestellte Themata* 'Αρτεμίδωρος] sonst unbekannt 10 »Die Fabel, Protagoras sei φορμοφόρος gewesen, habe ein Kissen zum Holztragen und ein geschicktes Zusammenbinden von Holzscheiten erfunden, geht vielleicht auf Vergleiche seiner Schriften zurück, an denen er den Begriff der τέχνη klar machte. Die damalige Sitte, mit den Beispielen des Handwerks abstrakte Begriffe zu verdeutlichen, zeigen (außer Sokrates) Hippocr. de victu [I 186, 4ff.] und die Διαλέξεις [c. 90, 7]. Crönert vergleicht zu der Stelle Philodem. Rhet. I 43 (col. 19, 2) καταχρώμεθα δὲ πολλάκις ἐν τῆι συνηθείαι τῶι τῆς τέχνης ὀνόματι, καθάπερ καὶ ξύλα συνδεῖν ἐνίοτε καὶ βαστάζειν καὶ πονηρεύεσθαι τεχνικῶς λέγομεν. Ähnlich 59 (col. 30, 30), 74 (col. 41, 19). Die Begegnung des ἀχθοφόρος Protagoras mit Demokrit hat Gell. V 3 in seiner Weise romanhaft ausgestaltet« Diels 12 δημόκριτον Hss.: verb. Diels, vgl. Epikur a. O. [II 85, 30] ἀναληφθῆναι ὑπ' αὐτοῦ 13 δεδεκὼς Casaub.: δεδοκὼς oder δεδωκὼς Hss. 15 ἐπαγγελίαν Hss. Σ (s. v. πυθμήν): verb. Froben: εἰσαγγελίαν Σ (s. v. Πρωταγόρας) 16 δὲ] δ' εἰς Bywater 18 ἄνωθεν F 19 λυκείωι F: λυκεία P: λυκίαι(?) B 20 ἀρσαγόρου B 21 'Επιζήλου Bethe *Mitt. d. ath. Inst.* XIV (1889) 399; dagegen Jacoby *Apollodor* S. 268[2] 22 Das Verzeichnis ist lückenhaft: die Hauptschriften fehlen nicht deswegen, weil sie früh verloren gingen oder nicht in den Buchhandel gelangten (Th. Gomperz *Apologie d. Heilk.* S. 185), sondern weil nur der Nachtrag erhalten ist,

Περὶ πάλης, Περὶ τῶν μαθημάτων, Περὶ πολιτείας, Περὶ φιλοτιμίας, Περὶ ἀρετῶν, Περὶ τῆς ἐν ἀρχῆι καταστάσεως, Περὶ τῶν ἐν Ἅιδου, Περὶ τῶν οὐκ ὀρθῶς τοῖς ἀνθρώποις πρασσομένων, Προστακτικός, Δίκη ὑπὲρ μισθοῦ, Ἀντιλογιῶν ᾱβ̄. καὶ ταῦτα μὲν αὐτῶι τὰ βιβλία. γέγραφε δὲ καὶ Πλάτων εἰς αὐτὸν διάλογον. φησὶ δὲ Φιλόχορος [fr. 168 FHG I 412] πλέοντος αὐτοῦ εἰς Σικελίαν τὴν ναῦν καταποντωθῆναι· καὶ τοῦτο αἰνίττεσθαι Εὐριπίδην ἐν τῶι Ἰξίονι [aufgeführt 410—8, p. 490 N$^2$.]. ἔνιοι κατὰ τὴν ὁδὸν τελευτῆσαι αὐτόν, βιώσαντα ἔτη πρὸς τὰ ἐνενήκοντα. (56) Ἀπολλόδωρος [FGrHist. 244 F 71 II 1040] δέ φησιν ἑβδομήκοντα, σοφιστεῦσαι δὲ τεσσαράκοντα καὶ ἀκμάζειν κατὰ τὴν τετάρτην καὶ ὀγδοηκοστὴν ὀλυμπιάδα [444—1]. Folgt Epigramm des Diog.

λέγεται δέ ποτε αὐτὸν ἀπαιτοῦντα τὸν μισθὸν Εὔαθλον τὸν μαθητὴν ἐκείνου εἰπόντος 'ἀλλ' οὐδέπω νίκην νενίκηκα' εἰπεῖν 'ἀλλ' ἐγὼ μὲν ἂν νικήσω, ὅτι ἐγὼ ἐνίκησα, λαβεῖν με δεῖ· ἐὰν δὲ σύ, ὅτι σύ' [vgl. B 6. Spengel Συν. τεχν. p. 26 ff.]. γέγονε δὲ καὶ ἄλλος Πρωταγόρας ἀστρολόγος, εἰς ὃν καὶ Εὐφορίων [p. 31 Scheidweiler] ἐπικήδειον ἔγραψε· καὶ τρίτος Στωικὸς φιλόσοφος.

2. Philostr. V. soph. I 10, 1 ff. [vgl. oben II 85, 33] Π. δὲ ὁ Ἀβδηρίτης σοφιστὴς [καὶ] Δημοκρίτου μὲν ἀκροατὴς οἴκοι ἐγένετο, ὡμίλησε δὲ καὶ τοῖς ἐκ Περσῶν μάγοις κατὰ τὴν Ξέρξου ἐπὶ τὴν Ἑλλάδα ἔλασιν. πατὴρ γὰρ ἦν αὐτῶι Μαιάνδριος πλούτωι κατεσκευασμένος παρὰ πολλοὺς τῶν ἐν τῆι Θράικηι, δεξάμενος δὲ καὶ τὸν Ξέρξην οἰκίαι τε καὶ δώροις τὴν ξυνουσίαν τῶν μάγων τῶι παιδὶ παρ' αὐτοῦ εὕρετο. οὐ γὰρ παιδεύουσι τοὺς μὴ Πέρσας Πέρσαι μάγοι, ἢν μὴ ὁ βασιλεὺς ἐφῆι. (2) τὸ δὲ ἀπορεῖν φάσκειν, εἴτε εἰσὶ θεοὶ εἴτε οὐκ εἰσί, δοκεῖ μοι Π. ἐκ τῆς Περσικῆς παιδεύσεως παρανομῆσαι· μάγοι γὰρ ἐπιθειάζουσι μὲν οἷς ἀφανῶς δρῶσι, τὴν δὲ ἐκ φανεροῦ δόξαν τοῦ θείου καταλύουσιν οὐ βουλόμενοι δοκεῖν παρ' αὐτοῦ δύνασθαι. (3) διὰ μὲν δὴ τοῦτο πάσης γῆς ὑπὸ Ἀθηναίων ἠλάθη ὡς μέν τινες, κριθείς, ὡς δὲ ἐνίοις δοκεῖ, ψήφου ἐπενεχθείσης μὴ κριθέντι. νήσους δὲ ἐξ ἠπείρων ἀμείβων καὶ τὰς Ἀθηναίων τριήρεις φυλαττόμενος πάσαις θαλάτταις ἐνεσπαρμένας κατέδυ πλέων ἐν ἀκατίωι μικρῶι. (4) τὸ δὲ μισθοῦ διαλέγεσθαι πρῶτος εὗρε, πρῶτος δὲ παρέδωκεν Ἕλλησι, πρᾶγμα οὐ μεμπτόν· ἃ γὰρ σὺν δαπάνηι σπουδάζομεν, μᾶλλον ἀσπαζόμεθα τῶν προῖκα. γνοὺς δὲ τὸν Πρωταγόραν ὁ Πλάτων σεμνῶς μὲν ἑρμηνεύοντα, ἐνυπτιάζοντα δὲ τῆι σεμνότητι καί που καὶ μακρολογώτερον τοῦ συμμέτρου, τὴν ἰδέαν αὐτοῦ μύθωι μακρῶι ἐχαρακτήρισεν [C 1].

3. Hesych. Onomatol. bei Schol. Plat. de rep. 600 c Π. Ἀρτέμωνος Ἀβδηρίτης. οὗτος φορτοβαστάκτης ἦν, ἐντυχὼν δὲ Δημοκρίτωι ἐφιλοσόφησε καὶ ἐπὶ ῥητορείαν ἔσχε. καὶ πρῶτος λόγους ἐριστικοὺς εὗρε καὶ μισθὸν ἔπραξε τοὺς μαθητὰς

---

der (wie der entsprechende Teil des Aristoteles-Pinax des Hesych. n. 140—187, Rose p. 16) auch aus der Literatur geschöpfte Titelvarianten enthält (vgl. zu 80 B 8b), wie die Liste des Kallimachos bei Suid. ἐριστικῶν] ἐριστικόν BP$^1$

1 περὶ τῶν BP: περὶ F 4 ᾱβ̄ BP: β̄ F αὐτοῦ F 6 καταποντισθῆναι Froben 7 ἔνιοι .. αὐτόν verstümmelt 8 ἔτη ⟨ἢ⟩ πρὸς Reiske; doch s. A 3 18 [] Friedl. 20 Μαιάνδριος aus II 253, 16 Diels: μαίανδρος Hss. Der Roman stammt aus Dinons Persika, in denen die Magier vorherrschen. S. 80 A 1 II 253, 16 28 νήσους δὲ ⟨ἐκ νήσων καὶ ἠπείρους⟩ ἐξ Kayser

μνᾶς ρ̄. διὸ καὶ ἐπεκλήθη Λόγος. τούτου μαθητὴς Ἰσοκράτης ὁ ῥήτωρ καὶ Πρόδικος ὁ Κεῖος. ἐκαύθη δὲ τὰ τούτου βιβλία ὑπ' Ἀθηναίων. εἶπε γάρ· 'περὶ θεῶν οὐκ ἔχω εἰδέναι οὔτε ὡς εἰσὶν οὔτε ὡς οὐκ εἰσίν' [B 4]. ἔγραψε δὲ εἰς αὐτὸν ὁ Πλάτων διάλογον. πλέοντος δὲ αὐτοῦ εἰς Σικελίαν ἐτελεύτησε ναυαγήσας ἐτῶν ⟨ὢν⟩ ἐνενήκοντα, σοφιστεύσας ἔτη τεσσαράκοντα. Suid. Πρωταγόρας (aus A 1 u. 3 kontaminiert).

4. Euseb. Chron. Hier. *Euripides . . . clarus habetur et P. sophista cuius libros decreto publico Athenienses combusserunt* Ol. 84 [444—41]. Apul. Flor. 18 *P. qui sophista fuit longe multiscius et cum primis rhetoricae repertoribus perfacundus, Democriti physici civis aequaevus (inde ei suppeditata doctrina est), eum Protagoran aiunt cum suo sibi discipulo Euathlo mercedem nimis uberem condicione temeraria pepigisse etc.* Vgl. B 6.

5. Plato Protag. 317 B [Szene um 431] Protagoras: ἐγὼ οὖν τούτων [der verkappten Sophisten wie Orpheus] τὴν ἐναντίαν ἅπασαν ὁδὸν ἐλήλυθα, καὶ ὁμολογῶ τε σοφιστὴς εἶναι καὶ παιδεύειν ἀνθρώπους . . . C καίτοι πολλά γε ἔτη ἤδη εἰμὶ ἐν τῆι τέχνηι· καὶ γὰρ καὶ τὰ ξύμπαντα πολλά μοί ἐστιν· οὐδενὸς ὅτου οὐ, πάντων ἂν ὑμῶν καθ' ἡλικίαν πατὴρ εἴην . . . 318 A ὦ νεανίσκε, ἔσται τοίνυν σοι, ἐὰν ἐμοὶ συνῆις, ἧι ἂν ἡμέραι ἐμοὶ συγγένηι, ἀπιέναι οἴκαδε βελτίονι γεγονότι καὶ ἐν τῆι ὑστεραίαι ταὐτὰ ταῦτα· καὶ ἑκάστης ἡμέρας ἀεὶ ἐπὶ τὸ βέλτιον ἐπιδιδόναι . . . 318 D οἱ μὲν γὰρ ἄλλοι λωβῶνται τοὺς νέους· τὰς γὰρ τέχνας αὐτοὺς πεφευγότας ἄκοντας πάλιν αὖ ἄγοντες ἐμβάλλουσιν εἰς τέχνας, λογισμούς τε καὶ ἀστρονομίαν καὶ γεωμετρίαν καὶ μουσικὴν διδάσκοντες (καὶ ἅμα εἰς τὸν Ἱππίαν ἀπέβλεψεν), παρὰ δ' ἐμὲ ἀφικόμενος μαθήσεται οὐ περὶ ἄλλου του ἢ περὶ οὗ ἥκει. τὸ δὲ μάθημά ἐστιν εὐβουλία περὶ τῶν οἰκείων, ὅπως ἂν ἄριστα τὴν αὑτοῦ οἰκίαν διοικοῖ, καὶ περὶ τῶν τῆς πόλεως, ὅπως τὰ τῆς πόλεως δυνατώτατος ἂν εἴη καὶ πράττειν καὶ λέγειν . . . 319 A Sokr. Δοκεῖς γάρ μοι λέγειν τὴν πολιτικὴν τέχνην καὶ ὑπισχνεῖσθαι ποιεῖν ἄνδρας ἀγαθοὺς πολίτας. — Αὐτὸ μὲν οὖν τοῦτό ἐστιν, ἔφη, ὦ Σώκρατες, τὸ ἐπάγγελμα ὃ ἐπαγγέλλομαι. 349 A σύ γ' ἀναφανδὸν σεαυτὸν ὑποκηρυξάμενος εἰς πάντας τοὺς Ἕλληνας σοφιστὴν ἐπονομάσας σεαυτὸν ἀπέφηνας παιδεύσεως καὶ ἀρετῆς διδάσκαλον, πρῶτος τούτου μισθὸν ἀξιώσας ἄρνυσθαι.

6. — — 328 B (Protag. spricht) διὰ ταῦτα καὶ τὸν τρόπον τῆς πράξεως τοῦ μισθοῦ τοιοῦτον πεποίημαι· ἐπειδὰν γάρ τις παρ' ἐμοῦ μάθηι, ἐὰν μὲν βούληται, ἀπέδωκεν ὃ ἐγὼ πράττομαι ἀργύριον· ἐὰν δὲ μή, ἐλθὼν εἰς ἱερὸν ὀμόσας, ὅσου ἂν φῆι ἄξια εἶναι τὰ μαθήματα, τοσοῦτον κατέθηκε.

7. — — 329 B Π. δὲ ὅδε ἱκανὸς μὲν μακροὺς λόγους καὶ καλοὺς εἰπεῖν, ὡς αὐτὸ δηλοῖ, ἱκανὸς δὲ καὶ ἐρωτηθεὶς ἀποκρίνασθαι κατὰ βραχὺ καὶ ἐρό-

---

1 Λόγος ἔμμισθος Suid. 5 ⟨⟩ Friedländer 8 Akme 444 wegen Thurioi A 1 II 253, 18 s. Jacoby *Apollodor* S. 268, Komm. zu FGHist. a. O. 17 [πάντων] Cobet. Platons Äußerung ist nicht wörtlich zu nehmen. Wenn Protagoras ungefähr 480 geboren ist, könnte er nicht Vater des Sokrates (geb. 469) sein. Aber auf ein paar Jahre kommt es nicht an. Vgl. auch A 9; Jacoby a. O. 19 [ἐν] Hirschig 34 ἀπέδωκεν Kroschel: ἀποδέκωκεν Hss.: [ἀποδέδωκεν] Sauppe 36 μακροὺς λόγους] *zusammenhängender Lehrvortrag.* Vgl. II 250, 4. 254, 6 37 αὐτὸ apograph. Paris.: αὐτὰ BTW ἀποκρίνασθαι W: ἀποκρίνεσθαι BT κατὰ βραχὺ] vgl. c. 90, 8

μενος περιμεῖναί τε καὶ ἀποδέξασθαι τὴν ἀπόκρισιν, ἃ ὀλίγοις ἐστὶ παρεσκευασμένα. Vgl. 334 D ff.

8. — Meno 91 D οἶδα γὰρ ἄνδρα ἕνα Πρωταγόραν πλείω χρήματα κτησάμενον ἀπὸ ταύτης τῆς σοφίας ἢ Φειδίαν τε, ὃς οὕτως περιφανῶς καλὰ ἔργα ἠργάζετο, καὶ ἄλλους δέκα τῶν ἀνδριαντοποιῶν . . . E Πρωταγόρας δὲ ἄρα ὅλην τὴν Ἑλλάδα ἐλάνθανεν διαφθείρων τοὺς συγγιγνομένους καὶ μοχθηροτέρους ἀποπέμπων ἢ παρελάμβανεν πλεῖν ἢ τετταράκοντα ἔτη. οἶμαι γὰρ αὐτὸν ἀποθανεῖν ἐγγὺς καὶ ἑβδομήκοντα ἔτη γεγονότα, τετταράκοντα δὲ ἐν τῆι τέχνηι ὄντα. καὶ ἐν ἅπαντι τῶι χρόνωι τούτωι ἔτι εἰς τὴν ἡμέραν ταυτηνὶ εὐδοκιμῶν οὐδὲν πέπαυται.

9. — Hipp. mai. 282 D E (Hippias spricht, s. 86 A 7) ἀφικόμενος δέ ποτε εἰς Σικελίαν Πρωταγόρου αὐτόθι ἐπιδημοῦντος καὶ εὐδοκιμοῦντος καὶ πρεσβυτέρου ὄντος πολὺ νεώτερος ὢν κτλ.

10. Plut. Pericl. 36 [aus Stesimbrotos, FGrHist. 107 F 11 II 519] πεντάθλου γάρ τινος ἀκοντίωι πατάξαντος Ἐπίτιμον τὸν Φαρσάλιον ἀκουσίως καὶ κτείναντος, ἡμέραν ὅλην ἀναλῶσαι [Perikles] μετὰ Πρωταγόρου διαποροῦντα, πότερον τὸ ἀκόντιον ἢ τὸν βαλόντα μᾶλλον ἢ τοὺς ἀγωνοθέτας κατὰ τὸν ὀρθότατον λόγον αἰτίους χρὴ τοῦ πάθους ἡγεῖσθαι. Vgl. Antiphon Tetr. β.

11. Athen. V 218 B ἀλλὰ μὴν καὶ ὁ ἐν τῶι 'Πρωταγόραι' διάλογος μετὰ τὴν Ἱππονίκου τελευτὴν γενόμενος παρειληφότος ἤδη τὴν οὐσίαν Καλλίου, τοῦ Πρωταγόρου ⟨μέμνηται⟩, παραγεγονότος τὸ δεύτερον οὐ πολλαῖς πρότερον ἡμέραις [309 D]. ὁ δ' Ἱππόνικος ἐπὶ μὲν Εὐθυδήμου ἄρχοντος [431?] στρατηγῶν παρατέτακται μετὰ Νικίου πρὸς Ταναγραίους καὶ τοὺς παραβοηθοῦντας Βοιωτῶν καὶ τῆι μάχηι νενίκηκε, τέθνηκε δὲ πρὸ τῆς ἐπ' Ἀλκαίου [421] διδασκαλίας τῶν Εὐπόλιδος Κολάκων οὐ πολλῶι χρόνωι κατὰ τὸ εἰκός [bei Delium 424] . . . ἐν οὖν τούτωι τῶι δράματι Εὔπολις τὸν Πρωταγόραν ὡς ἐπιδημοῦντα εἰσάγει [s. II 253, 18], Ἀμειψίας δ' ἐν τῶι Κόννωι [I 673 K.] δύο πρότερον ἔτεσιν διδαχθέντι [423] οὐ καταριθμεῖ αὐτὸν ἐν τῶι τῶν φροντιστῶν χορῶι· δῆλον οὖν ὡς μεταξὺ τούτων τῶν χρόνων παραγέγονεν. XI 505 F ἀλλὰ μὴν οὐ δύνανται Πάραλος καὶ Ξάνθιππος οἱ Περικλέους υἱοὶ τελευτήσαντος τῶι λοιμῶι Πρωταγόραι διαλέγεσθαι, ὅτε ⟨τὸ⟩ δεύτερον ἐπεδήμησε ταῖς Ἀθήναις, οἱ ἔτι πρότερον τελευτήσαντες. — Vgl. Eustath. Od. 1547, 53 ἐμφαίνειν Εὔπολις λέγεται τὸν φυσικὸν Πρωταγόραν διακωμωιδῶν ἐν τῶι 'ὃς ἀλαζονεύεται μὲν ἀλιτήριος περὶ τῶν μετεώρων, τὰ δὲ χαμᾶθεν ἐσθίει' [fr. 146 b Kock, s. II 253, 18]. Vgl. fr. 147 'πίνειν γὰρ αὐτὸν [Kallias] Πρωταγόρας ἐκέλευ', ἵνα πρὸ τοῦ κυνὸς τὸν πνεύμον' ἔκκλυστον φορῆι'.

12. Sext. adv. math. IX 55. 56 [nach 88 B 25] συμφέρεται δὲ τούτοις τοῖς ἀνδράσι [Euhemeros, Diagoras, Prodikos, Kritias] καὶ Θεόδωρος ὁ ἄθεος καὶ κατά τινας Π. ὁ Ἀβδηρίτης . . . ῥητῶς που γράψας· 'περὶ δὲ θεῶν οὔτε εἰ εἰσὶν οὔθ' ὁποῖοί τινές εἰσι δύναμαι λέγειν· πολλὰ γάρ ἐστι τὰ

---

4 τε F: γε BTW ἠργάζετο T: εἰργάζετο BWF 5 ὅλην ἄρα F 8 τετταράκοντα δὲ ἔτη ἀνῆι τέχνῃ F 9 ταύτην F 11 ἐπιδημήσαντος F 12 πολὺ F: καὶ πολὺ TW 16 μᾶλλον fehlt Y 17 ἡγεῖσθαι Y: γενέσθαι S 18 aus Herodikos 19 ⟨μέμνηται⟩ Casaub. 26 Κόννωι Casaub.: κοινῶι Hs. 29 τελευτήσαντος Gercke *Einl. in d. Altertumsw.* I² 62: τελευτήσαντες Hs. 30 ⟨τὸ⟩ Kaibel 34 ἔκκλυστον Reiske: ἔκλυτον Athen.: ἔκλυρον Plut. 39 εἰ] εἰ μὲν N

κωλύοντά με' [B 4]. παρ' ἣν αἰτίαν θάνατον αὐτοῦ καταψηφισαμένων τῶν Ἀθηναίων διαφυγὼν καὶ κατὰ θάλατταν πταίσας ἀπέθανεν. μέμνηται δὲ ταύτης τῆς ἱστορίας καὶ Τίμων ὁ Φλιάσιος ἐν τῶι δευτέρωι τῶν Σίλλων [fr. 5 D.] ταῦτα διεξερχόμενος·

† ὥστε καὶ μετέπειτα σοφιστῶν
οὔτ' ἀλιγυγλώσσωι οὔτ' ἀσκόπωι οὔτ' ἀκυλίστωι
Πρωταγόρηι. ἔθελον δὲ τέφρην συγγράμματα θεῖναι,
ὅττι θεοὺς κατέγραψ' οὔτ' εἰδέναι οὔτε δύνασθαι
ὁπποῖοί τινές εἰσι καὶ οἵ τινες ἀθρήσασθαι,
πᾶσαν ἔχων φυλακὴν ἐπιεικείης. τὰ μὲν οὔ οἱ
χραίσμησ', ἀλλὰ φυγῆς ἐπεμαίετο, ὄφρα μὴ οὕτως
Σωκρατικὸν πίνων ψυχρὸν ποτὸν ἀίδα δύηι.

13. Plato Cratyl. 385e f. ὥσπερ Π. ἔλεγεν λέγων πάντων χρημάτων μέτρον εἶναι ἄνθρωπον [B 1], ὡς ἄρα οἷα μὲν ἂν ἐμοὶ φαίνηται τὰ πράγματα εἶναι, τοιαῦτα μὲν ἔστιν ἐμοί· οἷα δ' ἂν σοί, τοιαῦτα δὲ σοί.

14. Sext. Pyrrh. h. i 216ff. καὶ ὁ Π. δὲ βούλεται πάντων χρημάτων εἶναι μέτρον τὸν ἄνθρωπον τῶν μὲν ὄντων ὡς ἔστιν, τῶν δὲ οὐκ ὄντων ὡς οὐκ ἔστιν [B 1], μέτρον μὲν λέγων τὸ κριτήριον, χρημάτων δὲ τῶν πραγμάτων, ὡς δυνάμει φάσκειν πάντων πραγμάτων κριτήριον εἶναι τὸν ἄνθρωπον, τῶν μὲν ὄντων ὡς ἔστιν, τῶν δὲ οὐκ ὄντων ὡς οὐκ ἔστιν. καὶ διὰ τοῦτο τίθησι τὰ φαινόμενα ἑκάστωι μόνα, καὶ οὕτως εἰσάγει τὸ πρός τι . . . (217) φησὶν οὖν ὁ ἀνὴρ τὴν ὕλην ῥευστὴν εἶναι, ῥεούσης δὲ αὐτῆς συνεχῶς προσθέσεις ἀντὶ τῶν ἀποφορήσεων γίγνεσθαι καὶ τὰς αἰσθήσεις μετακοσμεῖσθαί τε καὶ ἀλλοιοῦσθαι παρά τε ⟨τὰς⟩ ἡλικίας καὶ παρὰ τὰς ἄλλας κατασκευὰς τῶν σωμάτων. (218) λέγει δὲ καὶ τοὺς λόγους πάντων τῶν φαινομένων ὑποκεῖσθαι ἐν τῆι ὕληι, ὡς δύνασθαι τὴν ὕλην ὅσον ἐφ' ἑαυτῆι πάντα εἶναι ὅσα πᾶσι φαίνεται. τοὺς δὲ ἀνθρώπους ἄλλοτε ἄλλων ἀντιλαμβάνεσθαι παρὰ τὰς διαφόρους αὐτῶν διαθέσεις· τὸν μὲν γὰρ κατὰ φύσιν ἔχοντα ἐκεῖνα τῶν ἐν τῆι ὕληι καταλαμβάνειν ἃ τοῖς κατὰ φύσιν ἔχουσι φαίνεσθαι δύναται, τὸν δὲ παρὰ φύσιν ἃ τοῖς παρὰ φύσιν. (219) καὶ ἤδη παρὰ τὰς ἡλικίας καὶ κατὰ τὸ ὑπνοῦν ἢ ἐγρηγορέναι καὶ καθ' ἕκαστον εἶδος τῶν διαθέσεων ὁ αὐτὸς λόγος. γίνεται τοίνυν κατ' αὐτὸν τῶν ὄντων κριτήριον ὁ ἄνθρωπος. πάντα γὰρ τὰ φαινόμενα τοῖς ἀνθρώποις καὶ ἔστιν, τὰ δὲ μηδενὶ τῶν ἀνθρώπων φαινόμενα οὐδὲ ἔστιν. ὁρῶμεν οὖν ὅτι καὶ περὶ τοῦ τὴν ὕλην ῥευστὴν εἶναι καὶ περὶ τοῦ τοὺς λόγους τῶν φαινομένων πάντων ἐν αὐτῆι ὑποκεῖσθαι δογματίζει, ἀδήλων ὄντων καὶ ἡμῖν ἐφεκτῶν.

15. — adv. math. vii 389 πᾶσαν μὲν οὖν φαντασίαν οὐκ ⟨ἂν⟩ εἴποι τις ἀληθῆ διὰ τὴν περιτροπήν, καθὼς ὅ τε Δημόκριτος καὶ ὁ Πλάτων [Theaet. 171 A] ἀντιλέγοντες τῶι Πρωταγόραι ἐδίδασκον· εἰ γὰρ πᾶσα φαντασία ἐστὶν ἀληθής,

---

3 τῆς ἱστορίας ταύτης N Σίλλων] σειληνῶν N 5 ὥστε LEAB: ὅστε V: ἔση τε N: ὡς Stephanus. Die Stelle ist noch nicht geheilt. Sinn vielleicht ⟨πάντων πρωτίστωι τό⟩τε καὶ μ. σοφ. Diels 7 συγγράμματι Hss.: verb. Fabr. 8 κατέγραψεν] κατέρριψεν N 9 οἵ] εἴ Bekker 11 αὔτως Bekker 12 ἀίδα Menag.: ἀίδι Hss. δύη (Opt.) Meineke 15 εἶναι fehlt T, tilgt Burnet τοιαῦτα δὲ σοί T: τοιάδε B: τοιαῦτα δ' αὖ σοι Gudian. 44 16 vgl. Anm. zu B 1 16ff. vgl. Heinr. Maier *Sokrates* S. 208³ 24 ⟨τὰς⟩ Mutschmann vgl. Z. 30 29 τὸν T (lat. Übers.): τοὺς griech. Hss. 36 ⟨ἂν⟩ Bekker

καὶ τὸ μὴ πᾶσαν φαντασίαν εἶναι ἀληθῆ, κατὰ φαντασίαν ὑφιστάμενον, ἔσται ἀληθές, καὶ οὕτω τὸ πᾶσαν φαντασίαν εἶναι ἀληθῆ γενήσεται ψεῦδος. Demokrit gegen Protagoras 68 A 113. B 111. 69. 156 m. Anm.

16. Herm. Irris. 9 (D. 653) ἀλλ' ἐπὶ θάτερα Π. ἑστηκὼς ἀνθέλκει με φάσκων· ὅρος καὶ κρίσις τῶν πραγμάτων ὁ ἄνθρωπος καὶ τὰ μὲν ὑποπίπτοντα ταῖς αἰσθήσεσιν ἔστι πράγματα, τὰ δὲ μὴ ὑποπίπτοντα οὐκ ἔστιν ἐν τοῖς εἴδεσι τῆς οὐσίας. Vgl. II 234. 4 f.

17. Aristot. Metaph. Θ 3. 1046 b 29 εἰσὶ δέ τινες οἵ φασιν, οἷον οἱ Μεγαρικοί, ὅταν ἐνεργῆι μόνον δύνασθαι, ὅταν δὲ μὴ ἐνεργῆι, οὐ δύνασθαι, οἷον τὸν μὴ οἰκοδομοῦντα οὐ δύνασθαι οἰκοδομεῖν, ἀλλὰ τὸν οἰκοδομοῦντα, ὅταν οἰκοδομῆι· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. οἷς τὰ συμβαίνοντα ἄτοπα οὐ χαλεπὸν ἰδεῖν. δῆλον γάρ, ὅτι οὔτ' οἰκοδόμος ἔσται, ἐὰν μὴ οἰκοδομῆι· τὸ γὰρ οἰκοδόμωι εἶναι τὸ δυνατῶι εἶναί ἐστιν οἰκοδομεῖν ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων τεχνῶν. εἰ οὖν ἀδύνατον τὰς τοιαύτας ἔχειν τέχνας μὴ μανθάνοντά ποτε καὶ λαβόντα, καὶ μὴ ἔχειν (1047 a) μὴ ἀποβαλόντα ποτέ (ἢ γὰρ λήθηι ἢ πάθει τινὶ ἢ χρόνωι· οὐ γὰρ δὴ τοῦ γε πράγματος φθαρέντος· ἀεὶ γὰρ ἔστιν), ὅταν παύσηται, οὐχ ἕξει τὴν τέχνην, πάλιν δ' εὐθὺς οἰκοδομήσει πῶς λαβών; καὶ τὰ ἄψυχα δὴ ὁμοίως· οὔτε γὰρ ψυχρὸν οὔτε θερμὸν οὔτε γλυκὺ οὔτε ὅλως αἰσθητὸν οὐθὲν ἔσται μὴ αἰσθανομένων· ὥστε τὸν Πρωταγόρου λόγον συμβήσεται λέγειν αὐτοῖς. ἀλλὰ μὴν οὐδ' αἴσθησιν ἕξει οὐδέν, ἐὰν μὴ αἰσθάνηται μηδ' ἐνεργῆι.

18. Tertull. de anim. 15 (Sitz der Seele in der Brust nach Zitat von 31 B 105, 3) *etiam P., etiam Apollodorus, etiam Chrysippus haec sapiunt.*

19. Plato Euthyd. 286 B C οὐ γάρ τοι ἀλλὰ τοῦτόν γε τὸν λόγον (nämlich ὅτι οὐκ ἔστιν ἀντιλέγειν) πολλῶν δὴ καὶ πολλάκις ἀκηκοὼς ἀεὶ θαυμάζω. καὶ γὰρ οἱ ἀμφὶ Πρωταγόραν σφόδρα ἐχρῶντο αὐτῶι καὶ οἱ ἔτι παλαιότεροι [vgl. 22 A 7]· ἐμοὶ δὲ ἀεὶ θαυμαστός τις δοκεῖ εἶναι καὶ τούς τε ἄλλους ἀνατρέπων καὶ αὐτὸς αὑτόν [s. II 254, 8]. Aristot. Metaph. Γ 4. 1007 b 18 ἔτι εἰ ἀληθεῖς αἱ ἀντιφάσεις ἅμα κατὰ τοῦ αὐτοῦ πᾶσαι, δῆλον ὡς ἅπαντα ἔσται ἕν. ἔσται γὰρ τὸ αὐτὸ καὶ τριήρης καὶ τοῖχος καὶ ἄνθρωπος, εἰ κατὰ παντός τι ἢ καταφῆσαι ἢ ἀποφῆσαι ἐνδέχεται, καθάπερ ἀνάγκη τοῖς τὸν Πρωταγόρου λέγουσι λόγον. εἰ γάρ τωι δοκεῖ μὴ εἶναι τριήρης ὁ ἄνθρωπος, δῆλον ὅτι οὐκ ἔστι τριήρης· ὥστε καὶ ἔστιν, εἴπερ ἡ ἀντίφασις ἀληθής. Vgl. 5. 1009 a 6. Sext. VII 389 [68 A 114]. Aristot. Metaph. K 6. 1062 b 13 ἐκεῖνος [Protagoras] ἔφη πάντων εἶναι χρημάτων μέτρον ἄνθρωπον, οὐδὲν ἕτερον λέγων ἢ τὸ δοκοῦν ἑκάστωι τοῦτο καὶ εἶναι παγίως· τούτου δὲ γιγνομένου τὸ αὐτὸ συμβαίνει καὶ εἶναι καὶ μὴ εἶναι, καὶ κακον καὶ ἀγαθὸν εἶναι, καὶ τἆλλα τὰ κατὰ τὰς ἀντικειμένας λεγόμενα φάσεις, διὰ τὸ πολλάκις τοισδὶ μὲν φαίνεσθαι τόδε εἶναι καλὸν τοισδὶ δὲ τοὐναντίον, μέτρον δ' εἶναι τὸ φαινόμενον ἑκάστωι.

---

2 zum Verhältnis Demokr.: Pr. vgl. auch II 159, 3. 269, 2 Anm. Nestle *Philol.* 67 (1908) 552f. Luria *Quell. u. Stud. z. Gesch. d. Math.* B 2 (1933) 117ff. 4 θάτερα] vorher gehen die ionischen Dogmatiker 8 οἱ fehlt Ab 9 οὐ δύνασθαι (auch Z. 10) Ab: μὴ δ. E 12 οὔτε] setzt Fortsetzung οὔτε ἄλλος τεχνίτης voraus statt ὁμοίως κτλ. Z. 13 ἔσται Ab: ἐστὶν E 16 ⟨πῶς⟩ ὅταν nach [Al.] 571, 27 Bonitz 18 f. αἰσθανόμενον Bekker 34 χρημάτων εἶναι Ab 35 τὸν ἄνθρωπον E

20. Clem. Str. VI 65 (II 464, 14 St.) Ἕλληνές φασι Πρωταγόρου προκατάρξαντος παντὶ λόγωι λόγον ἀντικεῖσθαι. Sen. Ep. 88, 43 *P. ait de omni re in utramque partem disputari posse ex aequo et de hac ipsa, an omnis res in utramque partem disputabilis sit.* Vgl. B 6a.

21. Aristot. Rhet. B 24. 1402a 23 καὶ τὸ τὸν ἥττω δὲ λόγον κρείττω ποιεῖν [B 6b] τοῦτ' ἐστίν. καὶ ἐντεῦθεν δικαίως ἐδυσχέραινον οἱ ἄνθρωποι τὸ Πρωταγόρου ἐπάγγελμα· ψεῦδός τε γάρ ἐστιν καὶ οὐκ ἀληθὲς ἀλλὰ φαινόμενον εἰκός, καὶ ἐν οὐδεμιᾶι τέχνηι ἀλλ' ἐν ῥητορικῆι καὶ ἐριστικῆι. Steph. Byz. s. v. Ἄβδηρα: Π., ὃν Εὔδοξος [fr. 4 Gisinger *Στοιχεῖα* VI 78] ἱστορεῖ τὸν ἥσσω καὶ κρείσσω λόγον πεποιηκέναι καὶ τοὺς μαθητὰς δεδιδαχέναι τὸν αὐτὸν ψέγειν καὶ ἐπαινεῖν. Vgl. C 2.

21a. Plato Theaet. 166D ff. (Apologie des Protagoras) ἐγὼ γάρ φημι μὲν τὴν ἀλήθειαν ἔχειν ὡς γέγραφα· μέτρον γὰρ ἕκαστον ἡμῶν εἶναι τῶν τε ὄντων καὶ μή, μυρίον μέντοι διαφέρειν ἕτερον ἑτέρου αὐτῶι τούτωι, ὅτι τῶι μὲν ἄλλα ἔστι τε καὶ φαίνεται, τῶι δὲ ἄλλα. καὶ σοφίαν καὶ σοφὸν ἄνδρα πολλοῦ δέω τὸ μὴ φάναι εἶναι, ἀλλ' αὐτὸν τοῦτον καὶ λέγω σοφόν, ὃς ἄν τινι ἡμῶν, ὧι φαίνεται καὶ ἔστι κακά, μεταβάλλων ποιήσηι ἀγαθὰ φαίνεσθαί τε καὶ εἶναι. 167 B ἀλλ' οἶμαι πονηρᾶς ψυχῆς ἕξει δοξάζοντα συγγενῆ ἑαυτῆς χρηστὴ [sc. ἕξις] ἐποίησε δοξάσαι ἕτερα τοιαῦτα, ἃ δή τινες [τὰ φαντάσματα] ὑπὸ ἀπειρίας ἀληθῆ καλοῦσιν, ἐγὼ δὲ βελτίω μὲν τὰ ἕτερα τῶν ἑτέρων, ἀληθέστερα δὲ οὐδέν. καὶ τοὺς σοφοὺς ... κατὰ μὲν σώματα ἰατροὺς λέγω, κατὰ δὲ φυτὰ γεωργούς. φημὶ γὰρ καὶ τούτους τοῖς φυτοῖς ἀντὶ πονηρῶν αἰσθήσεων, ὅταν τι αὐτῶν ἀσθενῆι, χρηστὰς καὶ ὑγιεινὰς †αἰσθήσεις τε καὶ ἀληθεῖς ἐμποιεῖν, τοὺς δέ γε σοφούς τε καὶ ἀγαθοὺς ῥήτορας ταῖς πόλεσι τὰ χρηστὰ ἀντὶ τῶν πονηρῶν δίκαια δοκεῖν εἶναι ποιεῖν. ἐπεὶ οἷά γ' ἂν ἑκάστηι πόλει δίκαια καὶ καλὰ δοκῆι, ταῦτα καὶ εἶναι αὐτῆι, ἕως ἂν αὐτὰ νομίζηι. ἀλλ' ὁ σοφὸς ἀντὶ πονηρῶν ὄντων αὐτοῖς ἑκάστων χρηστὰ ἐποίησεν εἶναι καὶ δοκεῖν. κατὰ δὲ τὸν αὐτὸν λόγον καὶ ὁ σοφιστὴς τοὺς παιδευομένους οὕτω δυνάμενος παιδαγωγεῖν σοφός τε καὶ ἄξιος πολλῶν χρημάτων τοῖς παιδευθεῖσιν. καὶ οὕτω σοφώτεροί τέ εἰσιν ἕτεροι ἑτέρων καὶ οὐδεὶς ψευδῆ δοξάζει, καὶ σοί, ἐάν τε βούληι ἐάν τε μή, ἀνεκτέον ὄντι μέτρωι· σώιζεται γὰρ ἐν τούτοις ὁ λόγος οὗτος.

22. — Prot. 333D ἆρ' οὖν ... ταῦτ' ἐστὶν ἀγαθά, ἅ ἐστιν ὠφέλιμα τοῖς ἀνθρώποις; — Καὶ ναὶ μὰ Δί', ἔφη [Prot.], κἂν μὴ τοῖς ἀνθρώποις ὠφέλιμα ἦι, ἔγωγε καλῶ ἀγαθά. 334 A πότερον ... λέγεις, ὦ Πρωταγόρα, ἃ μηδενὶ ἀνθρώπων ὠφέλιμά ἐστιν, ἢ ἃ μηδὲ τὸ παράπαν ὠφέλιμα; καὶ τὰ τοιαῦτα σὺ ἀγαθὰ καλεῖς; — Οὐδαμῶς, ἔφη· ἀλλ' ἔγωγε πολλὰ οἶδ' ἃ ἀνθρώποις μὲν ἀνωφελῆ ἐστι, καὶ σιτία καὶ ποτὰ καὶ φάρμακα καὶ ἄλλα μυρία, τὰ δέ γε ὠφέλιμα· τὰ δὲ ἀνθρώποις μὲν οὐδέτερα, ἵπποις δέ κτλ. Vgl. 22 B 61; 68 B 172; c. 90, 1.

23. — Theaet. 162D [Protag. spricht] ὦ γενναῖοι παῖδές τε καὶ γέροντες, δημηγορεῖτε συγκαθεζόμενοι θεούς τε εἰς τὸ μέσον ἄγοντες, οὓς ἐγὼ ἔκ τε τοῦ λέγειν καὶ τοῦ γράφειν περὶ αὐτῶν, ὡς εἰσὶν ἢ ὡς οὐκ εἰσίν, ἐξαιρῶ.

---

8 ἀλλ' ⟨ἢ⟩ Th. Gomperz 10 διδαχέναι Coraes: δεδειχέναι Hs. 13 μέτρον κτλ.] vgl. zu B 1 18 συγγενῆ ἑαυτῆς] also = πονηρά χρηστῆι W 19 ἕτερα τοιαῦτα] also = χρηστά [τὰ φαντάσματα] Diels 23 †αἰσθήσεις τε καὶ] αἰσθήσεις, ὥστε καὶ? Diels: statt ἀληθεῖς verm. ἕξεις Diès *Rev. d. phil.* 37 (1913) 67

Cic. de nat. deor. I 24, 63 *Abderites quidem P. . . . sophistes temporibus illis vel maximus, cum in principio libri sic posuisset 'de divis neque ut sint neque ut non sint habeo dicere', Atheniensium iussu urbe atque agro est exterminatus librique eius in contione combusti.* 12, 29 (D. 535) *nec vero P., qui sese negat omnino de deis habere quod liqueat, sint non sint qualesve sint, quicquam videtur de natura deorum suspicari.* Aus derselben Quelle Philod. de piet. c. 22 p. 89 G. ἢ τοὺς ἄγνωστον εἴ τινές εἰσι θεοὶ λέγοντας ἢ ποῖοί τινές εἰσιν. Diogen. v. Oinoanda fr. 12 c. 2, 1 p. 19 William Π. δὲ ὁ Ἀβδηρείτης τῆι μὲν δυνάμει τὴν αὐτὴν ἤνεγκε Διαγόραι δόξαν, ταῖς λέξεσιν δὲ ἑτέραις ἐχρήσατο, ὡς τὸ λείαν ἰταμὸν αὐτῆς ἐκφευξούμενος. ἔφησε γὰρ μὴ εἰδέναι, εἰ θεοὶ εἰσίν· τοῦτο δ' ἐστὶν τὸ αὐτὸ τῶι λέγειν εἰδέναι ὅτι μὴ εἰσίν. Vgl. B 4.

24. Plato Crat. 391 B C (Sokr. zu Hermogenes) εἰσὶ δὲ οὗτοι οἱ σοφισταί, οἷσπερ καὶ ὁ ἀδελφός σου Καλλίας πολλὰ τελέσας χρήματα σοφὸς δοκεῖ εἶναι. ἐπειδὴ δὲ οὐκ ἐγκρατὴς εἶ τῶν πατρώιων, λιπαρεῖν χρὴ τὸν ἀδελφὸν καὶ δεῖσθαι αὐτοῦ διδάξαι σε τὴν ὀρθότητα [näml. τῶν ὀνομάτων] περὶ τῶν τοιούτων ἣν ἔμαθεν παρὰ Πρωταγόρου. — Ἄτοπος μεντἂν εἴη μου, ὦ Σώκρατες, ἡ δέησις, εἰ τὴν μὲν Ἀλήθειαν τὴν Πρωταγόρου ὅλως οὐκ ἀποδέχομαι, τὰ δὲ τῆι τοιαύτηι ἀληθείαι ῥηθέντα ἀγαπώιην ὥς του ἄξια.

25. — Prot. 339 A ἡγοῦμαι ... ἀνδρὶ παιδείας μέγιστον μέρος εἶναι περὶ ἐπῶν δεινὸν εἶναι· ἔστιν δὲ τοῦτο τὰ ὑπὸ τῶν ποιητῶν λεγόμενα οἷόν τ' εἶναι συνιέναι ἅ τε ὀρθῶς πεποίηται καὶ ἃ μή, καὶ ἐπίστασθαι διελεῖν τε καὶ ἐρωτώμενον λόγον δοῦναι. Folgt die Erklärung des Simonides. Gnom. Vatic. 743 ed. Sternbach n. 468 Π. ἐποποιοῦ τινος αὐτὸν βλασφημοῦντος ἐπὶ τῶι μὴ ἀποδέχεσθαι τὰ ποιήματα αὐτοῦ 'ὦτᾶν, ἔφη, κρεῖττόν μοί ἐστι κακῶς ἀκούειν ὑπὸ σοῦ ἢ τῶν σῶν ποιημάτων ἀκούειν'.

26. Plato Phaedr. 266 D ff. [Sokr. und Phaedr.] προοίμιον μὲν οἶμαι πρῶτον ὡς δεῖ τοῦ λόγου λέγεσθαι ἐν ἀρχῆι· ταῦτα λέγεις (ἦ γάρ;) τὰ κομψὰ τῆς τέχνης; — Ναί. — Δεύτερον δὲ δὴ διήγησίν τινα μαρτυρίας τ' ἐπ' αὐτῆι, τρίτον τεκμήρια, τέταρτον εἰκότα· καὶ πίστωσιν οἶμαι καὶ ἐπιπίστωσιν λέγειν τόν γε βέλτιστον λογοδαίδαλον Βυζάντιον ἄνδρα. — Τὸν χρηστὸν λέγεις Θεόδωρον; [s. 82 A 30]. — Τί μήν; καὶ ἔλεγχόν γε καὶ ἐπεξέλεγχον ὡς ποιητέον ἐν κατηγορίαι τε καὶ ἀπολογίαι. τὸν δὲ κάλλιστον Πάριον Εὐηνὸν [PLG II 269 B., ALG I 78 D.] ἐς μέσον οὐκ ἄγομεν, ὃς ὑποδήλωσίν τε πρῶτος ηὗρεν καὶ παρεπαίνους; οἱ δ' αὐτὸν καὶ παραψόγους φασὶν ἐν μέτρωι λέγειν μνήμης χάριν· σοφὸς γὰρ ἀνήρ. Τεισίαν [s. 82 A 7. 85 A 2] δὲ Γοργίαν τε ἐάσομεν εὕδειν, οἳ πρὸ τῶν ἀληθῶν τὰ εἰκότα εἶδον ὡς τιμητέα μᾶλλον, τά τε αὖ σμικρὰ μεγάλα καὶ τὰ μεγάλα σμικρὰ φαίνεσθαι ποιοῦσιν διὰ ῥώμην λόγου, καινά τε ἀρχαίως τά τ' ἐναντία καινῶς, συντομίαν τε λόγων καὶ ἄπειρα μήκη περὶ πάντων ἀνηῦρον; ταῦτα δὲ ἀκούων ποτέ μου Πρόδικος [s. 84 A 20] ἐγέλασεν, καὶ μόνος αὐτὸς ηὑρηκέναι ἔφη ὧν δεῖ λόγων τέχνην· δεῖν δὲ οὔτε μακρῶν οὔτε βραχέων ἀλλὰ μετρίων. — Σοφώτατά γε, ὦ Πρόδικε. — Ἱππίαν [86 A 12] δὲ οὐ

---

6 *videatur* B[1] (vielleicht richtig) 13 Καλλίας] vgl. 84 A 4b mit Anm. 17 Danach standen die philologischen Erörterungen vielleicht in seiner Ἀλήθεια 27 ἐν ἀρχῆι T: ἐπ' ἀρχῆι B: tilgte Schanz 30 λογοδαίδαλον T Cicero [s. 82 A 30], Hermias 238, 1 Couvr., Schol.: λόγον δαίδαλον B (daher λόγων Δαίδαλον Winckelmann) 40 δεῖν Paris 1808: δεῖ BT

λέγομεν; οἶμαι γὰρ ἂν σύμψηφον αὐτῶι καὶ τὸν Ἠλεῖον γενέσθαι. — Τί δ' οὔ; — Τὰ δὲ Πώλου πῶς φράσωμεν αὖ μουσεῖα λόγων, ὡς διπλασιολογίαν καὶ γνωμολογίαν καὶ εἰκονολογίαν, ὀνομάτων τε Λικυμνιείων, ἃ ἐκείνωι ἐδωρήσατο πρὸς ποίησιν εὐεπείας; — Πρωταγόρεια δέ, ὦ Σώκρατες, οὐκ ἦν μέντοι τοιαῦτ' ἄττα; — Ὀρθοέπειά γέ τις, ὦ παῖ, καὶ ἄλλα πολλὰ καὶ καλά. τῶν γε μὴν οἰκτρογόων ἐπὶ γῆρας καὶ πενίαν ἑλκομένων λόγων κεκρατηκέναι τέχνηι μοι φαίνεται τὸ τοῦ Χαλκηδονίου [Thrasymachos; s. 85 B 6] σθένος, ὀργίσαι τε αὖ πολλοὺς ἅμα δεινὸς ἀνὴρ γέγονεν καὶ πάλιν ὠργισμένοις ἐπάιδων κηλεῖν, ὡς ἔφη· διαβάλλειν τε καὶ ἀπολύσασθαι διαβολὰς ὅθεν δὴ κράτιστος. τὸ δὲ δὴ τέλος τῶν λόγων κοινῆι πᾶσιν ἔοικεν συνδεδογμένον εἶναι, ὧι τινὲς μὲν ἐπάνοδον, ἄλλοι δ' ἄλλο τίθενται ὄνομα.

27. Aristot. Rhet. Γ 5. 1407b 6 τέταρτον, ὡς Π. τὰ γένη τῶν ὀνομάτων διήιρει, ἄρρενα καὶ θήλεα καὶ σκεύη.

28. — Soph. el. 14. 173b 17 (σολοικισμός) ἔστι δὲ τοῦτο καὶ ποιεῖν καὶ μὴ ποιοῦντα φαίνεσθαι καὶ ποιοῦντα μὴ δοκεῖν, καθάπερ ὁ Π. ἔλεγεν, εἰ ὁ μῆνις καὶ ὁ πήληξ ἄρρεν ἐστίν· ὁ μὲν γὰρ λέγων 'οὐλομένην' σολοικίζει μὲν κατ' ἐκεῖνον, οὐ φαίνεται δὲ τοῖς ἄλλοις, ὁ δὲ 'οὐλόμενον' φαίνεται μέν, ἀλλ' οὐ σολοικίζει. Vgl. C 3; Plato Cratyl. 430D ff.

29. Aristot. Poet. 19. 1456b 15 τί γὰρ ἄν τις ὑπολάβοι ἡμαρτῆσθαι ἃ Π. ἐπιτιμᾶι ὅτι εὔχεσθαι οἰόμενος ἐπιτάττει εἰπὼν 'μῆνιν ἄειδε θεά'; τὸ γὰρ κελεῦσαι, φησί, ποιεῖν τι ἢ μή, ἐπίταξίς ἐστιν. Vgl. II 254, 13ff.

30. Ammon. Schol. Homer. [Grenfell-Hunt Oxyrh. Pap. II p. 68] col. XII 20 zu Φ 240 Π. φησὶν πρὸς τὸ διαλαβεῖν τὴν μάχην τὸ ἐπεισόδιον γεγονέναι τὸ ἑξῆς τῆς Ξάνθου καὶ θνητοῦ μάχης ἵν' εἰς τὴν θεομαχίαν μεταβῆι, τάχα δὲ ἵνα καὶ τὸν Ἀχιλλέα αὐξήσηι καὶ προκατα(?) τῶν η ........ τοῖς κινδύνοις τωι ησ ....... ς καταλαμβάνοντα τα ...... ἐπ]ήδα δὲ οὐκ ἐν τῶι ῥείθρωι ἔτι ἀλλ' ἐν τῶι πεδίωι.

---

## B. FRAGMENTE

### ΠΡΩΤΑΓΟΡΟΥ ΑΛΗΘΕΙΑ ἢ ΚΑΤΑΒΑΛΛΟΝΤΕΣ

1. Sext. adv. math. VII 60, καὶ Πρωταγόραν δὲ τὸν Ἀβδηρίτην ἐγκατέλεξάν τινες τῶι χορῶι τῶν ἀναιρούντων τὸ κριτήριον φιλοσόφων, ἐπεί φησι πάσας τὰς φαντασίας καὶ τὰς δόξας ἀληθεῖς ὑπάρ-

---

2 Herm. p. 239, 6 ἐκεῖνος γάρ, φασίν, ἐξηῦρε τὰ πάρισα· διὸ καὶ μουσεῖα λόγων ἐκάλεσεν, ἐπειδὴ ἐδόκει τῆι καλλιλεξίαι πάνυ κοσμεῖν τὸν λόγον. 'διπλασιολογίαν' δὲ τὸ τὰ αὐτὰ δὶς λέγειν οἷον φεῦ φεῦ: Spengel versteht darunter die Isokolen und Antithesen, Heindorf die διπλᾶ ὀνόματα, Norden die ὀνόματα μουσικῶς συγκείμενα *Ant. Kunstpr.* I² 74¹. Vgl. Blass *Att. Beredts.* I² 84 3 λικυμνίων Hss. 3. 4 [ἃ ἐκείνωι ἐδωρήσατο] Ast 4 προσεποίησεν (so Cornarius) εὐέπειαν Schanz. — Vgl. Herm. 239, 12 ὁ Λικύμνιος τὸν Πῶλον ἐδίδαξεν ὀνομάτων τινὰς διαιρέσεις οἷον ποῖα κύρια, ποῖα σύνθετα, ποῖα ἀδελφά, ποῖα ἐπίθετα καὶ ἄλλα πολλὰ πρὸς εὐέπειαν. Arist. Rhet. Γ 13. 1414b 15 5 Ὀρθοέπεια] Herm. a. O. τουτέστι κυριολεξία vgl. 68 A 33, XI 9 ὅθεν δὴ Paris. 1808: ὅθεν δεῖ BT 11 ἐπάνοδον] Herm. 240, 1 ἀνακεφαλαίωσιν 17 σολοικίζει] sc. κατὰ Πρ. Vgl. [Alex.] z. d. St. 106, 20; Wackernagel *Synt.* II 4.

χειν καὶ τῶν πρός τι εἶναι τὴν ἀλήθειαν διὰ τὸ πᾶν τὸ φανὲν ἢ δόξαν τινὶ εὐθέως πρὸς ἐκεῖνον ὑπάρχειν. ἐναρχόμενος γοῦν τῶν Καταβαλλόντων ἀνεφώνησε· 'πάντων χρημάτων μέτρον ἐστὶν ἄνθρωπος, τῶν μὲν ὄντων ὡς ἔστιν, τῶν δὲ οὐκ ὄντων ὡς οὐκ ἔστιν'. Vgl. II 253, 26. 258, 13ff. 261, 17.

Plato Theaet. 151 E 152 A [Sokr. und Theaet.] Κινδυνεύεις μέντοι λόγον οὐ φαῦλον εἰρηκέναι περὶ ἐπιστήμης, ἀλλ' ὃν ἔλεγε καὶ Πρωταγόρας. τρόπον δέ τινα ἄλλον εἴρηκε τὰ αὐτὰ ταῦτα. φησὶ γάρ που πάντων χρημάτων μέτρον ἄνθρωπον εἶναι, τῶν μὲν ὄντων ὡς ἔστι, τῶν δὲ μὴ ὄντων ὡς οὐκ ἔστιν. ἀνέγνωκας γάρ που; — Ἀνέγνωκα καὶ πολλάκις. — Οὐκοῦν οὕτως πως λέγει, ὡς οἷα μὲν ἕκαστα ἐμοὶ φαίνεται, τοιαῦτα μὲν ἔστιν ἐμοί, οἷα δὲ σοί, τοιαῦτα δὲ αὖ σοί· ἄνθρωπος δὲ σύ τε κἀγώ; ... ἆρ' οὐκ ἐνίοτε πνέοντος ἀνέμου τοῦ αὐτοῦ ὁ μὲν ἡμῶν ῥιγῶι, ὁ δ' οὔ; καὶ ὁ μὲν ἠρέμα, ὁ δὲ σφόδρα; — Καὶ μάλα. — Πότερον οὖν τότε αὐτὸ ἐφ' ἑαυτοῦ τὸ πνεῦμα ψυχρὸν ἢ οὐ ψυχρὸν φήσομεν, ἢ πεισόμεθα τῶι Πρωταγόραι ὅτι τῶι μὲν ῥιγῶντι ψυχρόν, τῶι δὲ μὴ οὔ; — Ἔοικεν. — Οὐκοῦν καὶ φαίνεται οὕτως ἑκατέρωι; — Ναί. — Τὸ δέ γε φαίνεται αἰσθάνεται ἔστιν; — Ἔστιν γάρ. — Φαντασία ἄρα

---

WAHRHEIT ODER NIEDERRINGENDE (REDEN)

1. Aller Dinge Maß ist der Mensch, der seienden, daß (wie) sie sind, der nicht seienden, daß (wie) sie nicht sind. — Sein *ist gleich* jemandem Erscheinen.

---

2 Καταβαλλόντων] sc. λόγων, vgl. C 4, Usener *Kl. Schriften* I 148; Radermacher *Rhein. Mus.* 53 (1898) 501[4], nicht richtig Langenbeck a. O. S. 25[1] Vor diesem Anfang hat vielleicht [vgl. A 21a] der Titel gestanden, wie es damals Sitte war: Πρωταγόρης ὁ Ἀβδηρίτης τάδε λέγει, ὡς ἀληθέα οἱ δοκεῖ εἶναι· πάντων κτλ. Ähnlich Lier *Topica carm. sep. lat.* Diss. Tüb. 1902, 31. Daher dann der Titel Ἀλήθεια, der an Parmenides [28 B 1, 29 u. ö.], Antiphon [87 B 1ff.], Antisthenes und Simmias erinnert 4 ὡς] »*daß* (nicht *wie*)« Diels; doch konnte nur das Folgende lehren, wie es gemeint war. Übersicht über die Literatur: Kreis *Arch. f. Gesch. d. Phil.* 35 (1923) 43ff. οὐκ ὄντων Sext., Diog.: μὴ (indirekt) Plato Z. 10 5 An ὡς οὐκ ἔστιν will H. Gomperz *Sophistik u. Rhet.* S. 228 den dem Bericht Platons [A 21a] zugrunde liegenden Text so anschließen: ἃ γὰρ φαίνεταί τε καὶ δοκεῖ ἀνθρώπωι, ταῦτα ἔστιν αὐτῶι, ἃ δὲ οὔτε φαίνεται οὔτε δοκεῖ ἀνθρώπωι, ταῦτ' οὐκ ἔστιν. μυρίον μέντοι διαφέρουσιν ἄνθρωποι ἕτερος ἑτέρου αὐτῶι τούτωι ὡς τῶι μὲν ἕτερα φαίνεταί τε καὶ δοκεῖ τῶι δὲ ἕτερα 16 ἑαυτοῦ Berl. Papyr., W.: ἑαυτὸ BT 19 αἰσθάνεται Berl. Papyr.: αἰσθάνεσθαι Hss. ἔστιν fehlt einmal Berl. Pap. 66, 7, doch s. ebd. 66, 38

καὶ αἴσθησις ταὐτὸν ἔν τε θερμοῖς καὶ πᾶσι τοῖς τοιούτοις. οἷα γ' ἄρ' αἰσθάνεται ἕκαστος, τοιαῦτα ἑκάστωι καὶ κινδυνεύει εἶναι. 161 c Sokr. Τὰ μὲν ἄλλα μοι πάνυ ἡδέως εἴρηκεν, ὡς τὸ δοκοῦν ἑκάστωι τοῦτο καὶ ἔστιν· τὴν δ' ἀρχὴν τοῦ λόγου τεθαύμακα, ὅτι οὐκ εἶπεν ἀρχόμενος τῆς 'Αληθείας ὅτι πάντων χρημάτων μέτρον ἐστὶν ὗς ἢ κυνοκέφαλος ἤ τι ἄλλο ἀτοπώτερον τῶν ἐχόντων αἴσθησιν, ἵνα μεγαλοπρεπῶς καὶ πάνυ καταφρονητικῶς ἤρξατο ἡμῖν λέγειν, ἐνδεικνύμενος ὅτι ἡμεῖς μὲν αὐτὸν ὥσπερ θεὸν ἐθαυμάζομεν ἐπὶ σοφίαι, ὁ δ' ἄρα ἐτύγχανεν ὢν εἰς φρόνησιν οὐδὲν βελτίων βατράχου γυρίνου, μὴ ὅτι ἄλλου του ἀνθρώπων. Vgl. A 21a.

## ΠΕΡΙ ΤΟΥ ΟΝΤΟΣ

2. Porphyr. ἀπὸ τοῦ α̅ τῆς Φιλολόγου ἀκροάσεως b. Eus P. E. x 3, 25 σπάνια δὲ τὰ τῶν πρὸ τοῦ Πλάτωνος γεγονότων βιβλία· ἐπεὶ ἴσως πλείους ἄν τις ἐφώρασε τοῦ φιλοσόφου ⟨κλοπάς⟩· ἐγὼ δ' οὖν ἧι κατὰ τύχην περιπέπτωκα Πρωταγόρου τὸν Περὶ τοῦ ὄντος ἀναγινώσκων λόγον πρὸς τοὺς ἓν τὸ ὂν εἰσάγοντας τοιαύταις αὐτὸν εὑρίσκω χρώμενον ἀπαντήσεσιν· ἐσπούδασα γὰρ αὐταῖς λέξεσι τὰ ῥηθέντα μνημονεύειν. Euseb. fügt zu καὶ ταῦτ' εἰπὼν διὰ πλειονων τίθησι τὰς ἀποδείξεις.

## ΜΕΓΑΣ ΛΟΓΟΣ

3. Anecd. Par. I 171, 31 de Hippomacho B 3 [ed. Bohler *Sophistae Protrept. fr.* Lips. 1903 p. 46, 5] ὅτι ἐν τῶι ἐπιγραφομένωι Μεγάλωι λόγωι ὁ Π. εἶπε· 'φύσεως καὶ ἀσκήσεως διδασκαλία δεῖται' καὶ 'ἀπὸ νεότητος δὲ ἀρξαμένους δεῖ μανθάνειν'. οὐκ ἂν δὲ ἔλεγε τοῦτο, εἰ αὐτὸς ὀψιμαθὴς ἦν, ὡς ἐνόμιζε καὶ ἔλεγεν 'Επίκουρος περὶ Πρωταγόρου [fr. 173 Us.; 68 A 9].

---

## GROSSE REDE

3. Begabung und Übung braucht die Lehrkunst *und* Von der Jugend anfangend muß man lernen.

---

2 γ' ἄρ' Badham: γὰρ Hss. 9 [βατράχου] Valckenaer, doch vgl. *Herm.* 62 (1927) 256 11 Identität mit der 'Αλήθεια verm. Bernays *Ges. Abh.* I 121 14 ⟨κλοπάς⟩ Viger 20 Frey identifizierte den Μέγας λόγος mit dem Προστακτικός II 255, 3; eher = 'Αλήθεια 23f. vgl. Plato Protag. 323 c ff. Eurip. Hik. 913f. 68 B 33. c. 89, 6 (E. Jacoby *de Antiph. Soph.* Diss. Berl. 1908, 43. Gunning a. O. S. 92 ff. 24 δεῖ C: δεῖν Pz

ΠΕΡΙ ΘΕΩΝ

4. Eus. P. E. XIV 3, 7 ὁ μὲν γὰρ Δημοκρίτου γεγονὼς ἑταῖρος ὁ Π. ἄθεον ἐκτήσατο δόξαν· λέγεται γοῦν τοιᾶιδε κεχρῆσθαι εἰσβολῆι ἐν τῶι Περὶ θεῶν συγγράμματι· 'περὶ μὲν θεῶν οὐκ οἶδα ... ἰδέαν'. Diog. IX 51 [II 253, 28] 'περὶ ... ἀνθρώπου'. Vgl. A 2. 3. 12. 23.

περὶ μὲν θεῶν οὐκ ἔχω εἰδέναι, οὔθ' ὡς εἰσὶν οὔθ' ὡς οὐκ εἰσὶν οὔθ' ὁποῖοί τινες ἰδέαν· πολλὰ γὰρ τὰ κωλύοντα εἰδέναι ἥ τ' ἀδηλότης καὶ βραχὺς ὢν ὁ βίος τοῦ ἀνθρώπου.

ΑΝΤΙΛΟΓΙΩΝ Α̅ Β̅ [s. II 255, 4]

5. Diog. III 37 Εὐφορίων [fr. 152 Scheidweiler] δὲ καὶ Παναίτιος [fr. 50 Fowler] εἰρήκασι πολλάκις ἐστραμμένην εὑρῆσθαι τὴν ἀρχὴν τῆς Πολιτείας [Platons], ἣν Πολιτείαν 'Αριστόξενός [fr. 33 FHG II 282]

---

ÜBER DIE GÖTTER

4. Über die Götter allerdings habe ich keine Möglichkeit zu wissen (festzustellen ?) weder daß sie sind, noch daß sie nicht sind, noch, wie sie etwa an Gestalt sind; denn vieles gibt es, was das Wissen (Feststellen ?) hindert: die Nichtwahrnehmbarkeit und daß das Leben des Menschen kurz ist.

---

4 γράμματι O    7 ἔχω εἰδέναι Diog. Hesych. [A 3]: οἶδα Eus. Nach Diels u. Wilamowitz ist εἰδέναι aoristisch gebraucht; vgl. Luc. Dial. mer. 9 ἔχοντε εἰδέναι. ἔχω [εἰδέναι] Richards    οὔθ' ... οὔθ' Diog. BP: εἴθ' ... εἴθ' Diog. F    8 οὔθ' ὁποῖοί τινες ἰδέαν Eus. (auch Sextus A 12, Cicero und Philodem (d. h. ihre epikureische Quelle) A 23, Theophil. ad Autol. III 7; Epiphan. Ancorat. § 104 paraphrasieren diese Worte): fehlt Diog., Hesychios (A 3), Plato A 23. Krische *Forsch.* I 136 u. a. verwerfen den Zusatz als Erfindung Timons [A 12 II 258, 9]. Allein das Fehlen beweist nichts, wie Cicero a. O. zeigt, die Worte klingen alt; vgl. ὁκοῖοί τινες τὰ εἴδεα (θεοί) Herod. II 53; jeder Verständige wird dieses Glied als zutreffend nur für den Fall des ὡς εἰσίν auffassen. Aus Epiphanios a. O. wollte Wilamowitz *Berl. Sitz. Ber.* 1911, 763 den Schluß gewinnen·οὐδὲ ὁποῖοί τινες ⟨τὴν⟩ ἰδέαν δηλῶσαι, εἰδέναι Z. 9 wollte er streichen. Doch vgl. auch E. Hoffmann *Sitzungsber. d. Berl. Philol. Ver.* 39 (1913) 245    πολλὰ ... ἀνθρώπου fehlt Eus. Vgl. Hipp. de victu III 1 [VI 592 L.; s. Diels *Herm.* 45 (1910) 144, 18]    9 ἀνθρώπου] ging der Text weiter περὶ δὲ ἀνθρώπων ... ? (Kranz)    10 mit der 'Αλήθεια identifiziert von Bernays    12 ἐστραμμένην] vom Stil ?    13 [Πολιτείαν] Th. Gomperz, indem er annimmt, daß sich die Coinzidenz nur auf p. 331 E—336 A erstreckt habe (*Apol. d. Heilk.*$^2$ S. 173). Jedenfalls hat Favorinus die Stelle nicht so gefaßt. Vgl. auch H. Gomperz *Soph. u. Rhet.* S. 131$^{285}$. 181$^{367}$. G. Murray *Rise of the gr. Epic.* S. 20$^1$ denkt an die Frauenfrage: des Aristophanes Lysistrata und Ekklesiazusen seien von Pr. abhängig

φησι πᾶσαν σχεδὸν ἐν τοῖς Πρωταγόρου γεγράφθαι Ἀντιλογικοῖς. 57 Πολιτείας ... ἣν καὶ εὑρίσκεσθαι σχεδὸν ὅλην παρὰ Πρωταγόραι ἐν τοῖς Ἀντιλογικοῖς φησι Φαβωρῖνος ἐν Παντοδαπῆς ἱστορίας δευτέρωι [fr. 21 FHG III 580].

## ZWEIFELHAFTE TITEL

### ΤΕΧΝΗ ΕΡΙΣΤΙΚΩΝ [s. II 254, 22]

**6.** Cic. Brut. 12, 46 (aus Aristot. Τεχνῶν συναγ. fr. 137 R.) *scriptasque fuisse et paratas a Protagora rerum inlustrium disputationes, quae nunc communes appellantur loci.* Quintil. III 1, 10 *Abderites P., a quo decem milibus denariorum lidicisse artem, quam edidit, Euathlus* [s. II 254, 21. 255, 12. 256, 11] *dicitur.* 1, 12 (84 A 10) *horum primi communis locos tractasse dicuntur P., Gorgias, affectus Prodicus et Hippias et idem P. et Thrasymachus.*

**6a.** Diog. IX 51 [s. II 253, 23] πρῶτος ἔφη (Π.) δύο λόγους εἶναι περὶ παντὸς πράγματος ἀντικειμένους ἀλλήλοις. Vgl. A 20.

**6b.** Aristot. Rhet. B 24. 1402a 23 [vgl. A 21] ... τὸν ἥττω ... λόγον κρείττω ποιεῖν.

### ΠΕΡΙ ΤΩΝ ΜΑΘΗΜΑΤΩΝ [s. II 255, 1]

**7.** Aristot. Metaph. B 2. 997b 32 οὐδὲ τοῦτο ἀληθές, ὡς ἡ γεωδαισία τῶν αἰσθητῶν ἐστι μεγεθῶν καὶ φθαρτῶν· ἐφθείρετο γὰρ ἂν φθειρομένων. ἀλλὰ μὴν οὐδὲ τῶν αἰσθητῶν ἂν εἴη μεγεθῶν οὐδὲ περὶ τὸν οὐρανὸν ἡ ἀστρολογία τόνδε. οὔτε γὰρ αἱ αἰσθηταὶ γραμμαὶ τοιαῦταί εἰσιν οἵας λέγει ὁ γεωμέτρης· οὐθὲν γὰρ εὐθὺ τῶν αἰσθητῶν οὕτως οὐδὲ στρογγύλον· ἅπτεται γὰρ τοῦ κανόνος οὐ κατὰ στιγμὴν ὁ κύκλος, ἀλλ' ὥσπερ Πρωταγόρας ἔλεγεν ἐλέγχων τοὺς γεωμέτρας, οὔτε ... Vg. A 5 (II 256, 20ff.). 15 m. Anm.

---

### STREITREDEKUNST

**6a.** Über jede Sache gibt es zwei einander entgegengesetzte Aussagen (Meinungen).

**6b.** *Es gilt* die schwächere Meinung zur stärkeren zu machen.

### ÜBER DIE MATHEMATIK

**7.** *Bekämpfung der Auffassung der Geometer, die Tangente berühre den Kreis nur in einem Punkte.*

---

10 *euathius* Hss.; Εὔαθλος ist fingierter Name der Scherzanekdote, die Aristoteles verewigte und Gellius V 10 des breitesten erzählt. Der Titel stammt daher vermutlich nur aus der Anekdote 17 Der Titel stammt wohl ebenfalls nur aus der Erwähnung des Aristoteles oder aus Anführung ähnlicher Stellen. Zur Sache vgl. Luria *Quell. u. Stud. z. Gesch. d. Math.* B 2 (1933) 117ff.

### ΠΕΡΙ ΠΑΛΗΣ [II 255, 1]

8. Plato Soph. 232 D E τά γε μὴν περὶ πασῶν τε καὶ κατὰ μίαν ἑκάστην τέχνην, ἃ δεῖ πρὸς ἕκαστον αὐτὸν τὸν δημιουργὸν ἀντειπεῖν, δεδημοσιωμένα που καταβέβληται γεγραμμένα τῶι βουλομένωι μαθεῖν. — Τὰ Πρωταγόρειά μοι φαίνει περί τε πάλης καὶ τῶν ἄλλων τεχνῶν εἰρηκέναι ... 233 A Πῶς οὖν ἄν ποτέ τις πρός γε τὸν ἐπιστάμενον αὐτὸς ἀνεπιστήμων ὢν δύναιτ' ἂν ὑγιές τι λέγων ἀντειπεῖν; — Οὐδαμῶς.

### 8a. ΠΕΡΙ ΠΟΛΙΤΕΙΑΣ [II 255, 1]. Vgl. B 5.

### 8b. ΠΕΡΙ ΤΗΣ ΕΝ ΑΡΧΗΙ ΚΑΤΑΣΤΑΣΕΩΣ [II 255, 2]. Vgl. C 1.

### 8c. ΠΕΡΙ ΦΙΛΟΤΙΜΙΑΣ [II 255, 1]

### 8d. ΠΕΡΙ ΑΡΕΤΩΝ [II 255, 2]

### 8e. ΠΕΡΙ ΤΩΝ ΟΥΚ ΟΡΘΩΣ ΤΟΙΣ ΑΝΘΡΩΠΟΙΣ ΠΡΑΣΣΟΜΕΝΩΝ [II 255, 3]

### 8f. ΠΡΟΣΤΑΚΤΙΚΟΣ [II 255, 3]

### 8g. ΔΙΚΗ ΥΠΕΡ ΜΙΣΘΟΥ [II 255, 4]. Vgl. A 1 § 56. B 6.

### 8h. ΠΕΡΙ ΤΩΝ ΕΝ ΑΙΔΟΥ [II 255, 2]. Vgl. 68 B 0c ff.

## AUS UNBESTIMMTEN SCHRIFTEN

9. [Plut.] Cons. ad Apoll. 33 p. 118 E Περικλέα δὲ τὸν 'Ολύμπιον προσαγορευθέντα διὰ τὴν περὶ τὸν λόγον καὶ τὴν σύνεσιν ὑπερβεβλημένην δύναμιν, πυθόμενον ἀμφοτέρους αὐτοῦ τοὺς υἱοὺς μετηλλαχέναι τὸν βίον Πάραλόν τε καὶ

---

1 »Der Titel ist offenbar nur aus Plato gezogen. Denn die Erörterung des Protagoras gegen die τέχναι, die auch Protag. 318 E [oben II 256, 20] angezogen wird, war nach dieser Stelle ganz umfassend und vermutlich wie B 7 in den 'Αντιλογίαι oder der 'Αλήθεια enthalten.« Diels  2 „die Antilogien gegen die τέχναι im allgemeinen und im besonderen, die man gegen jeden einzelnen gerade ausübenden Techniten vorbringen soll". Th. Gomperz hat daraus das Gegenteil, eine *Gesamtapologie der Künste*, erschlossen und hierin eine Anspielung auf die Hippokratische Schrift Περὶ τέχνης gesehen, die er ohne hinreichende Gründe dem Protagoras zuschreibt (*Apologie d. Heilk.*[1] S. 33; vgl. [2] 30). Auf eristische Behandlung der Heilkunst (ἀντιλογίη, ἐρωτᾶν, ἀποκρίνεσθαι, ἀντιλέγειν) bezieht sich Hippocr. de morb. I 1 ff. [VI 140 ff. L.]  4 καταβέβληται] vgl. Liddell-Scott[9] p. 884 II 7' Friedländer  9 Περὶ τῆς ἐν ἀρχῆι καταστάσεως] „*Über die Anfänge der menschlichen Gesellschaft*" Th. Gomperz, „*Gesellschaftsverfassung*" Norden *Agnostos Theos* S. 371[1]. Vgl. Demokrit 68 B 5. 278. Diels vermutete, daß der Titel sich auf die Platonische Imitation C 1 bezieht; vgl. aber auch Norden a. O. S. 371 f. »Die folgenden Titel beziehen sich wohl ebenfalls auf einzelne, nur den Inhalt streifende Zitate anderer Autoren, die ein Amanuensis der Bibliothek aufgestöbert hatte.  15 Vermutlich Verwechslung der beiden Abderiten« Diels

Ξάνθιππον (ὥς φησι Π. εἰπὼν οὕτως· 'τῶν ... ἀμηχανίην')· τοῦτον γὰρ εὐθὺς μετὰ τὴν προσαγγελίαν ἀμφοτέρων τῶν υἱέων οὐδὲν ἧττον ἐστεφανωμένον κατὰ τὸ πάτριον ἔθος καὶ λευχειμονοῦντα δημηγορεῖν 'βουλάς τ' ἐξάρχοντ' ἀγαθὰς' [Hom. B 273] πρός τε τὸν πόλεμον ἐπιπαρορμῶντα τοὺς Ἀθηναίους.

τῶν γὰρ υἱέων νεηνιῶν ὄντων καὶ καλῶν, ἐν ὀκτὼ δὲ ταῖς πάσηισιν ἡμέρηισιν ἀποθανόντων, νηπενθέως ἀνέτλη· εὐδίης γὰρ εἴχετο, ἐξ ἧς πολλὸν ὤνητο κατὰ πᾶσαν ἡμέρην εἰς εὐποτμίην καὶ ἀνωδυνίην καὶ τὴν ἐν τοῖς πολλοῖσι δόξαν· πᾶς γάρ τίς μιν ὁρῶν τὰ ἑαυτοῦ πένθεα ἐρρωμένως φέροντα, μεγαλόφρονά τε καὶ ἀνδρεῖον ἐδόκει εἶναι καὶ ἑαυτοῦ κρείσσω, κάρτα εἰδὼς τὴν ἑαυτοῦ ἐν τοιοῖσδε πράγμασιν ἀμηχανίην.

**10.** Stob. III (Flor.) 29, 80 Π. ἔλεγε μηδὲν εἶναι μήτε τέχνην ἄνευ μελέτης μήτε μελέτην ἄνευ τέχνης.

**11.** [Plutarch] περὶ ἀσκήσεως 178, 25 [*Rhein. Mus.* 27, 1872, 526] *P. ferner hat gesagt:* Nicht sproßt Bildung in der Seele, wenn man nicht zu vieler Tiefe kommt.

## SCHLECHTBEZEUGTES

**12.** Graeco-Syr. Sprüche übers. von Ryssel [*Rhein. Mus.* 51, 1896, 539 n. 32]. Protagoras hat gesagt: Mühsal und Arbeit und Unterricht und Erziehung und Weisheit sind der Ruhmeskranz, der geflochten wird von den Blumen einer beredten Zunge und denen aufs Haupt gesetzt wird, die ihn lieben. Schwer zwar ist die Zunge, doch ihre Blüten sind reich und immer neu, und die Zuschauer und die Beifallsspender und die Lehrer freuen sich und die Schüler machen Fortschritte und die Toren ärgern sich — oder vielleicht ärgern sie sich auch nicht, weil sie nicht einsichtig genug sind.

---

**9.** Denn als seine Söhne, junge und schöne Menschen, innerhalb von nur acht Tagen starben, ertrug (Perikles) es sonder Trauer. Denn er hielt fest an der inneren Heiterkeit, aus der er viel Nutzen gewann an jedem Tage für Wohlbefinden, Leidlosigkeit und das Ansehen bei der Menge; denn jeder, der ihn seine Leiden stark ertragen sah, mußte ihn für hochgesinnt, männlich und selbstbeherrscht halten; kannte er doch nur zu gut seine eigene Ratlosigkeit in solchen Lagen.

**10.** Ein Nichts ist Fertigkeit ohne Übung oder Übung ohne Fertigkeit.

---

1 εἰπεῖν Hss.: verb. Turneb. u. a. 5ff. vgl. Wilamowitz *Leseb.* II 3 mit Anm. 6 εἴχετο Turn. Vulc.: ἐχεῖτο Hss. 15 etwa οὐκ ἐμφύεται παιδείη τῆι ψυχῆι μὴ ἱκομένου ἐς βάθος πολλόν. Vgl. 87 B 60; Nestle *Philol.* 67 (1908) 555

18 Wenn man die orientalische Einkleidung wegnähme, könnte der Spruch von P. sein. Aber die Überlieferung der Namen ist ganz unsicher

In zwei Hss. Taur. C VI 21 (b VI 18) s. XVI und Paris. 2426 s. XVI werden neben den hermetischen Ἰατρομαθηματικά (*Phys. et Med.* ed. Ideler I 387) auch Exzerpte (ἐκ) τῶν συναγωγῶν Πρωταγόρου im Titel erwähnt

## C. IMITATION

1. Plato Protag. 320cff. (Mythos des P.) ἦν γάρ ποτε χρόνος ὅτε θεοὶ μὲν ἦσαν, θνητὰ δὲ γένη οὐκ ἦν. ἐπειδὴ δὲ (D) καὶ τούτοις χρόνος ἦλθεν εἱμαρμένος γενέσεως, τυποῦσιν αὐτὰ θεοὶ γῆς ἔνδον ἐκ γῆς καὶ πυρὸς μείξαντες καὶ τῶν ὅσα πυρὶ καὶ γῆι κεράννυται. ἐπειδὴ δ' ἄγειν αὐτὰ πρὸς φῶς ἔμελλον, προσέταξαν Προμηθεῖ καὶ Ἐπιμηθεῖ κοσμῆσαί τε καὶ νεῖμαι δυνάμεις ἑκάστοις ὡς πρέπει· Προμηθέα δὲ παραιτεῖται Ἐπιμηθεὺς αὐτὸς νεῖμαι, νείμαντος δ' ἐμοῦ, ἔφη, ἐπίσκεψαι· καὶ οὕτως πείσας νέμει. νέμων δὲ τοῖς (E) μὲν ἰσχὺν ἄνευ τάχους προσῆπτεν, τοὺς δ' ἀσθενεστέρους τάχει ἐκόσμει· τοὺς δὲ ὥπλιζε, τοῖς δ' ἄοπλον διδοὺς φύσιν ἄλλην τιν' αὐτοῖς ἐμηχανᾶτο δύναμιν εἰς σωτηρίαν. ἃ μὲν γὰρ αὐτῶν σμικρότητι ἤμπισχεν, πτηνὸν φυγὴν ἢ κατάγειον οἴκησιν ἔνεμεν· ἃ δὲ ηὖξε μεγέθει, τῶιδε (321) αὐτῶι αὐτὰ ἔσωιζεν· καὶ τἆλλα οὕτως ἐπανισῶν ἔνεμεν. ταῦτα δὲ ἐμηχανᾶτο εὐλάβειαν ἔχων, μή τι γένος ἀιστωθείη· ἐπειδὴ δὲ αὐτοῖς ἀλληλοφθοριῶν διαφυγὰς ἐπήρκεσε, πρὸς τὰς ἐκ Διὸς ὥρας εὐμάρειαν ἐμηχανᾶτο ἀμφιεννὺς αὐτὰ πυκναῖς τε θριξὶν καὶ στερεοῖς δέρμασιν, ἱκανοῖς μὲν ἀμῦναι χειμῶνα, δυνατοῖς δὲ καὶ καύματα, καὶ ἐς εὐνὰς ἰοῦσιν ὅπως ὑπάρχοι τὰ αὐτὰ ταῦτα στρωμνὴ οἰκεία τε καὶ (B) αὐτοφυὴς ἑκάστωι. καὶ ὑποδῶν τὰ μὲν ὁπλαῖς, τὰ δὲ ὄνυξιν στερεοῖς καὶ ἀναίμοις τοὐντεῦθεν τροφὰς ἄλλοις ἄλλας ἐξεπόριζεν, τοῖς μὲν ἐκ γῆς βοτάνην, ἄλλοις δὲ δένδρων καρπούς, τοῖς δὲ ῥίζας· ἔστι δ' οἷς ἔδωκεν εἶναι τροφὴν ζώιων ἄλλων βοράν· καὶ τοῖς μὲν ὀλιγογονίαν προσῆψε, τοῖς δ' ἀναλισκομένοις ὑπὸ τούτων πολυγονίαν, σωτηρίαν τῶι γένει πορίζων. ἅτε δὴ οὖν οὐ πάνυ τι σοφὸς ὢν ὁ Ἐπιμηθεὺς ἔλαθεν αὐτὸν (C) καταναλώσας τὰς δυνάμεις εἰς τὰ ἄλογα· λοιπὸν δὴ ἀκόσμητον ἔτι αὐτῶι ἦν τὸ ἀνθρώπων γένος, καὶ ἠπόρει ὅ τι χρήσαιτο. ἀποροῦντι δὲ αὐτῶι ἔρχεται Προμηθεὺς ἐπισκεψόμενος τὴν νομήν, καὶ ὁρᾶι τὰ μὲν ἄλλα ζῶια ἐμμελῶς πάντων ἔχοντα, τὸν δὲ ἄνθρωπον γυμνόν τε καὶ ἀνυπόδητον καὶ ἄστρωτον καὶ ἄοπλον· ἤδη δὲ καὶ ἡ εἱμαρμένη ἡμέρα παρῆν, ἐν ἧι ἔδει καὶ ἄνθρωπον ἐξιέναι ἐκ γῆς εἰς φῶς. ἀπορίαι οὖν ἐχόμενος ὁ Προμηθεὺς ἥντινα σωτηρίαν (D) τῶι ἀνθρώπωι εὕροι, κλέπτει Ἡφαίστου καὶ Ἀθηνᾶς τὴν ἔντεχνον σοφίαν σὺν πυρί (ἀμήχανον γὰρ ἦν ἄνευ πυρὸς αὐτὴν κτητήν τωι ἢ χρησίμην γενέσθαι) καὶ οὕτω δὴ δωρεῖται ἀνθρώπωι. τὴν μὲν οὖν περὶ τὸν βίον σοφίαν ἄνθρωπος ταύτηι ἔσχεν, τὴν δὲ πολιτικὴν οὐκ εἶχεν· ἦν γὰρ παρὰ τῶι Διί· τῶι δὲ Προμηθεῖ εἰς μὲν τὴν ἀκρόπολιν τὴν τοῦ Διὸς οἴκησιν οὐκέτι ἐνεχώρει εἰσελθεῖν (πρὸς δὲ καὶ αἱ Διὸς φυλακαὶ φοβεραὶ ἦσαν), εἰς δὲ τὸ τῆς (E) Ἀθηνᾶς καὶ Ἡφαίστου οἴκημα τὸ κοινόν, ἐν ὧι ἐφιλοτεχνείτην, λαθὼν εἰσέρχεται, καὶ κλέψας τήν τε ἔμπυρον τέχνην τὴν τοῦ Ἡφαίστου καὶ τὴν ἄλλην τὴν τῆς Ἀθηνᾶς δίδωσιν ἀνθρώπωι, καὶ ἐκ τούτου εὐπορία μὲν ἀνθρώπωι τοῦ βίου γίγνεται,

2ff. zum Verhältnis Protagoras: Demokrit in dieser 'Archaeologie' vgl. oben II 135, 2. 267, 9 Anm; Norden *Agnostos Theos* S. 399; Guil. Meyer *Laudes inopiae* Diss. Gött. 1915, 29  8 νέμει TW: νεῖμαι B  9 τοὺς δ' ἀσθενεστέρους . . . τοὺς δὲ BT: τὰ δ' ἀσθενέστερα . . . τὰ δὲ nivellierend Paris. 3017  17 ὑποδῶν Cobet: ὑπὸ ποδῶν Hss. ὄνυξιν (nach Baiter) Diels: θριξὶν καὶ δέρμασιν (aus Z. 15) Hss.: Tilgung von θριξὶν καὶ genügt nicht  19 ἄλλοις T: ἀλλήλοις B. Vgl. Herodot III 108 (Nestle *Philol.* 67, 1908, 552f.), zum Ganzen Kleingünther *Philol.* Suppl. XXVI (1933) 102ff.  22. 23 εἰς τὰ ἄλογα TW: fehlt B  23 [ἀκόσμητον] ? Diels  27 ἐχόμενος T: σχόμενος B  29 σὺν πυρί] vgl. J. Haußleiter *Religionsgesch. Vers. u. Vorarb.* XXIV S. 74ff.

Προμηθέα δὲ (322) [δι' Ἐπιμηθέα] ὕστερον, ᾗπερ λέγεται, κλοπῆς δίκη μετῆλθεν. ἐπειδὴ δὲ ὁ ἄνθρωπος θείας μετέσχε μοίρας, πρῶτον μὲν διὰ τὴν τοῦ θεοῦ συγγένειαν ζώιων μόνον θεοὺς ἐνόμισεν, καὶ ἐπεχείρει βωμούς τε ἱδρύεσθαι καὶ ἀγάλματα θεῶν· ἔπειτα φωνὴν καὶ ὀνόματα ταχὺ διηρθρώσατο τῆι τέχνηι, καὶ οἰκήσεις καὶ ἐσθῆτας καὶ ὑποδέσεις καὶ στρωμνὰς καὶ τὰς ἐκ γῆς τροφὰς ηὕρετο. οὕτω δὴ παρεσκευασμένοι κατ' ἀρχὰς ἄνθρωποι ᾤικουν σποραδην, (B) πόλεις δὲ οὐκ ἦσαν· ἀπώλλυντο οὖν ὑπὸ τῶν θηρίων διὰ τὸ πανταχῆι αὐτῶν ἀσθενέστεροι εἶναι, καὶ ἡ δημιουργικὴ τέχνη αὐτοῖς πρὸς μὲν τροφὴν ἱκανὴ βοηθὸς ἦν, πρὸς δὲ τὸν τῶν θηρίων πόλεμον ἐνδεής· πολιτικὴν γὰρ τέχνην οὔπω εἶχον, ἧς μέρος πολεμική. ἐζήτουν δὴ ἀθροίζεσθαι και σώιζεσθαι κτίζοντες πόλεις· ὅτ' οὖν ἀθροισθεῖεν, ἠδίκουν ἀλλήλους ἅτε οὐκ ἔχοντες τὴν πολιτικὴν τέχνην, ὥστε πάλιν σκεδαννύμενοι διεφθείροντο. Ζεὺς οὖν (C) δείσας περὶ τῶι γένει ἡμῶν, μὴ ἀπόλοιτο πᾶν, Ἑρμῆν πέμπει ἄγοντα εἰς ἀνθρώπους αἰδῶ τε καὶ δίκην, ἵν' εἶεν πόλεων κόσμοι τε καὶ δεσμοὶ φιλίας συναγωγοί. ἐρωτᾶι οὖν Ἑρμῆς Δία, τίνα οὖν δοίη τρόπον δίκην καὶ αἰδῶ ἀνθρώποις· 'πότερον ὡς αἱ τέχναι νενέμηνται, οὕτω καὶ ταύτας νείμω; νενέμηνται δὲ ὧδε· εἷς ἔχων ἰατρικὴν πολλοῖς ἱκανὸς ἰδιώταις, καὶ οἱ ἄλλοι δημιουργοί· καὶ δίκην δὴ καὶ αἰδῶ οὕτω θῶ ἐν τοῖς ἀνθρώποις, ἢ ἐπὶ πάντας νείμω;' (E) "ἐπὶ πάντας, ἔφη ὁ Ζεύς, καὶ πάντες μετεχόντων· οὐ γὰρ ἂν γένοιντο πόλεις, εἰ ὀλίγοι αὐτῶν μετέχοιεν ὥσπερ ἄλλων τεχνῶν. καὶ νόμον γε θὲς παρ' ἐμοῦ, τὸν μὴ δυνάμενον αἰδοῦς καὶ δίκης μετέχειν κτείνειν ὡς νόσον πόλεως." Vgl. Moschion fr. 6 Frag. Gr. Trag. p. 813 N.² und Aristot. de partt. an. Δ 10. 687a 23 οἱ λέγοντες ὡς συνέστηκεν οὐ καλῶς ὁ ἄνθρωπος ἀλλὰ χείριστα τῶν ζώιων (ἀνυπόδητόν τε γὰρ αὐτὸν εἶναί φασι καὶ γυμνὸν καὶ οὐκ ἔχοντα ὅπλον πρὸς τὴν ἀλκήν), οὐκ ὀρθῶς λέγουσιν. Vgl. auch 88 B 25.

2. Aristoph. Nub. 112ff. Vgl. A 21.

εἶναι παρ' αὐτοῖς φασιν ἄμφω τὼ λόγω,
τὸν κρείττον', ὅστις ἐστί, καὶ τὸν ἥττονα.
τούτοιν τὸν ἕτερον τοῖν λόγοιν, τὸν ἥττονα,
114 νικᾶν λέγοντά φασι τἀδικώτερα.

Vgl. den Agon des Δίκαιος und Ἄδικος λόγος 889ff.

3. Aristoph. Nub. 658ff. (Sokrates und Strepsiades). Vgl. A 28.

ἀλλ' ἕτερα δεῖ σε πρότερα τούτων μανθάνειν·
τῶν τετραπόδων ἅττ' ἐστὶν ὀρθῶς ἄρρενα.
— ἀλλ' οἶδ' ἔγωγε τἄρρεν', εἰ μὴ μαίνομαι.
κριός, τράγος, ταῦρος, κύων, ἀλεκτρυών.
— ὁρᾶις ὃ πάσχεις; τήν τε θήλειαν καλεῖς
ἀλεκτρυόνα καὶ ταὐτὸ καὶ τὸν ἄρρενα.
— πῶς δή; φέρ' — ὅπως; ἀλεκτρυὼν κ(αὶ) ἀλεκτρυών.
— νὴ τὸν Ποσειδῶ. νῦν δὲ πῶς με χρὴ καλεῖν;
— ἀλεκτρύαιναν· τὸν δ' ἕτερον ἀλέκτορα.
— ἀλεκτρύαιναν; εὖ γε, νὴ τὸν Ἀέρα·

---

1 [ ] Sauppe 2f. vgl. hierzu wie z. Ganzen Friedländer *Platon* I 204 4 διηρθρώσατο] vgl. Demokrit B 5, 1 II 135, 39 [τῆι τέχνηι] Deuschle 31ff. vgl. E. Fränkel Kuhns *Zeitschr. f. vergl. Sprachw.* 43 (1910) 211 Wackernagel *Syntax* II 1ff. 32 τούτων R: τούτου V 37 καὶ ταὐτὸ Flor. Abb. 2715: κατὰ ταὐτὸ RV¹ 38 φέρε, πῶς R: φέρε V: verb. Harl. 6307

ὥστ' ἀντὶ τούτου τοῦ διδάγματος μόνου
διαλφιτώσω σου κύκλωι τὴν κάρδοπον.
670 — ἰδοὺ μάλ' αὖθις τοῦθ' ἕτερον· τὴν κάρδοπον
671 — ἄρρενα καλεῖς θήλειαν οὖσαν . . .
677 ἀτὰρ τὸ λοιπὸν πῶς με χρὴ καλεῖν; — ὅπως;
τὴν καρδόπην, ὥσπερ καλεῖς τὴν Σωστράτην.
— τὴν καρδόπην θήλειαν; — ὀρθῶς γὰρ λέγεις.

4. Eurip. Bacch. 199ff. (Kadmos, Teiresias). Vgl. B 1.

οὐ καταφρονῶ 'γὼ τῶν θεῶν θνητὸς γεγώς.
200 — οὐδ' ἐνσοφιζόμεσθα τοῖσι δαίμοσιν.
πατρίους παραδοχὰς ἅς θ' ὁμήλικας χρόνωι
κεκτήμεθ', οὐδεὶς αὐτὰ καταβαλεῖ λόγος,
οὐδ' εἰ δι' ἄκρων τὸ σοφὸν ηὕρηται φρενῶν.

5 (?). Aeschines Socrat. Καλλίας fr. 16 p. 50 Krauss. Vgl. 84 A 4b.

---

# 81 [75]. XENIADES

Sext. adv. math. vii 53 Ξενιάδης δὲ ὁ Κορίνθιος, οὗ καὶ Δημόκριτος [68 B 163] μέμνηται, πάντ' εἰπὼν ψευδῆ καὶ πᾶσαν φαντασίαν καὶ δόξαν ψεύδεσθαι καὶ ἐκ τοῦ μὴ ὄντος πᾶν τὸ γινόμενον γίνεσθαι καὶ εἰς τὸ μὴ ὂν πᾶν τὸ φθειρόμενον φθείρεσθαι, δυνάμει τῆς αὐτῆς ἔχεται τῶι Ξενοφάνει στάσεως. Vgl. P. H. ii 76 (*Rhein. Mus.* 64, 1909, 262).

---

# 82 [76]. GORGIAS

## A. LEBEN UND LEHRE

1. Philostr. V. S. i 9, 1ff. Σικελία Γοργίαν ἐν Λεοντίνοις ἤνεγκεν, ἐς ὃν ἀναφέρειν ἡγώμεθα τὴν τῶν σοφιστῶν τέχνην ὥσπερ ἐς πατέρα· εἰ γὰρ τὸν Αἰσχύλον ἐνθυμηθείημεν, ὡς πολλὰ τῆι τραγωιδίαι ξυνεβάλετο ἐσθῆτί τε αὐτὴν κατασκευάσας καὶ ὀκρίβαντι ὑψηλῶι καὶ ἡρώων εἴδεσιν ἀγγέλοις τε καὶ ἐξαγγέλοις καὶ οἷς ἐπὶ σκηνῆς τε καὶ ὑπὸ σκηνῆς χρὴ πράττειν, τοῦτο ἂν εἴη καὶ ὁ Γ. τοῖς ὁμοτέχνοις. (2) ὁρμῆς τε γὰρ τοῖς σοφισταῖς ἦρξε καὶ παραδοξολογίας καὶ πνεύματος καὶ τοῦ τὰ μεγάλα μεγάλως ἑρμηνεύειν, ἀποστάσεών τε καὶ προσβολῶν, ὑφ' ὧν ὁ λόγος ἡδίων ἑαυτοῦ γίγνεται καὶ σοβαρώτερος, περιεβάλλετο δὲ καὶ ποιητικὰ ὀνόματα ὑπὲρ κόσμου καὶ σεμνότητος. (3) ὡς μὲν οὖν καὶ ῥᾶιστα ἀπεσχεδίαζεν, εἴρηταί μοι κατὰ ἀρχὰς τοῦ λόγου [A 1a], διαλεχθεὶς δὲ 'Αθήνησιν ἤδη γηράσκων εἰ μὲν ὑπὸ τῶν πολλῶν ἐθαυμάσθη, οὔπω θαῦμα, ὁ δέ, οἶμαι, καὶ τοὺς ἐλλογιμωτάτους ἀνηρτήσατο, Κριτίαν μὲν καὶ 'Αλκιβιάδην νέω ὄντε, Θουκυδίδην δὲ καὶ Περικλέα ἤδη γηράσκοντε. καὶ 'Αγάθων δὲ ὁ τῆς τραγωιδίας ποιητής, ὃν ἡ κω-

---

10 οὐδὲν σοφιζόμεσθα Hss.: verb. Musgrave 11 πατρίους Plut.: πατρὸς Hss. 12 καταβάλλει (oder -η) Hss.: verb. Scaliger 18 γινόμενον | γεννώμενον N 31 ὡς Kayser: πῶς Hss.